## *Διορθώσεις εἰς* **Fontes historiae imperii Trapezuntini, I.**

*Καὶ τοῦτο τοῦ ἀκαταπονήτου ἐρευνητοῦ Ἀθανασίου Παπαδοπούλου-Κεραμέως τὸ δημοσίευμα* (Petropoli 1897) *χρήσιμον ἱστορικῶς ὂν ἀπέδειξεν ὁ λόγος τοῦ* Krumbacher *ἐν* Byz. Z. VI 630—632. *Νῦν ἡμεῖς ἐπανορθοῦμεν κριτικῶς ἐσφαλμένα τινὰ χωρία τῶν ἐν αὐτῷ ἐκδεδομένων ἔργων.*

I. *Κωνσταντίνου τοῦ Λουκίτου ἐγκώμιον, σελ.* 1—32.

1, 14 *Ταύτης* (sc. *τῆς Τραπεζοῦντος*) *ὁ περιώνυμος αὐτὸς οὗτος* (sc. *Εὐγένιος*) *ἐν μάρτυσιν οἷά τις ἄλλος ἀειλαμπὴς ἀστὴρ ἐξανέτειλε καὶ κύκλῳ πᾶσαν τοῖς οἰκείοις πρώην [φωτοβό]λοις ἔκτοτε δὲ καὶ θαύμασιν ἐφωταγώγησε καὶ φωταγωγεῖ πᾶσαν τὴν ὑφήλιον. Εἰ δὲ καὶ συνανίσχοντας ἔσχεν ἅμα καὶ συμφωτίζοντας Κανίδιον τὸν καινόν, Οὐαλεριανὸν τὸν ἀρίζηλον καὶ τὸν ἀγγελικὸν Ἀκύλαν, τούτους δὴ τοὺς συνάθλους καὶ Χριστοῦ μάρτυρας, καινὸν καὶ οὕτω πάντως οὐδέν, [ἅτε δήπου] τεσσάρων ὄντων τῶν τῆς οἰκουμένης θεμάτων καὶ διὰ τεσσάρων [ἀστέρων ἔδει] ταῦτα περιαυγάζεσθαι· ἐκεῖνο δὲ πάντη καινόν, ὅπως ποτὲ [πνευμα]τικὸς θεσμὸς συγγενείας, προσεχὴς ἢ καὶ μήκοθεν γνωριζόμενος, εἰς ἀδελφικὴν συνῆψε σχέσιν τὰ σώματα τούτων, θερμὸς ἔρως ὁ πρὸς Χριστὸν αὐτοὺς καὶ ἡ τοῦ μαρτυρίου πόθησις καὶ τελείωσις ἀδελφικώτερον, ὡς ἄν τις φαίη, συνέδησεν. Ἣν γε δὴ πρώτην ἐγὼ καὶ μόνην ἁπασῶν συγγένειαν τίθεμαι —, πολλῷ τῷ περιόντι τὰς κατὰ γῆν συγγενείας ταύτας ἀποκαλύπτουσαν.*

*Τὰ ἀγκύλαις* ([ ]) *περιειλημμένα ἀνεπλήρωσεν ὁ ἐκδότης ἐξ ἑαυτοῦ ἐν χάσμασι τοῦ κώδικος.*

*Πρῶτον, ἀδιστάκτως ἡμεῖς γράφομεν:*

*πᾶσαν τοῖς οἰκείοις πρώην [μὲν ἄθ]λοις ἔκτοτε δὲ καὶ θαύμασιν ἐφωταγώγησε.*

*Δεύτερον, εὐκόλως συνορᾷ τις τὴν ἀσυνταξίαν τῶν „ἅτε — ὄντων — ἔδει“ τῶν ἐπιφερομένων τῇ προτάσει „καινὸν καὶ οὕτω πάντως οὐδέν“, τῇ οὔσῃ ἀποδόσει τοῦ ὑποθετικοῦ μέρους „Εἰ — ἔσχεν“. Δυνατὴν ὑπολαμβάνομεν ἡμεῖς τὴν ἑξῆς ἐκφοράν:*

*καινὸν καὶ οὕτω πάντως οὐδέν· [καὶ γὰρ] (ἢ [ἐπειδὴ] ἢ [ἐπεὶ δήπου]) τεσσάρων ὄντων τῶν — θεμάτων καὶ* [= auch, *οὐχὶ* und] *διὰ τεσσάρων [ἀστέρων ἔδει] ταῦτα περιαυγάζεσθαι.*

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

Τρίτον, ἀσυνταξίᾳ συνέχονται καὶ τὰ „ἐκεῖνο — καινόν, ὅπως — συνῆψε — συνέδησεν“, τὸ δὲ πνευματικὸς ἀντιμάχεται τῇ ὅλῃ ἐννοίᾳ καὶ ἄλλως καὶ διὰ τὰ ἐπιφερόμενα „εἰς ἀδελφικὴν συνῆψε σχέσιν τὰ σώματα τούτων“. Δι᾽ ὅλως διαφόρου ἀναπληρώσεως ὁ νοῦς ἐκλάμπει σαφέστατος:

ἐκεῖνο δὲ πάντῃ καινόν, ὅπως ποτὲ [εἰ μὴ σωμα]τικὸς δεσμὸς συγγενείας — εἰς ἀδελφικὴν συνῆψε σχέσιν τὰ σώματα τούτων, θερμὸς ἔρως ὁ πρὸς Χριστὸν αὐτοὺς — ἀδελφικώτερον — συνέδησεν.

Τέταρτον, tacite διωρθώσαμεν ἤδη τὸ θεσμός.

Πέμπτον, γινώσκομεν μὲν ἡμεῖς τὴν σπανιωτάτην χρῆσιν τοῦ ῥήματος ἀποκαλύπτω ἐν τῇ σημασίᾳ τοῦ „παντελῶς καλύπτω“, εἰκάζομεν δ᾽ ὅμως μετὰ πλείστης πιθανότητος ὅτι ὁ κῶδιξ ἔχει τὸ ἐπικαλύπτουσαν.

2, 17 Καὶ περὶ γῆν μὲν ὄντες ἔτι ζηλωτοὶ τυράννοις καὶ βασιλεῦσιν ἐτύγχανον, ὡς τὸν φόβον τούτων ἀποσειόμενοι, καὶ πρὸς ἐκεῖνον ⟨δὲ⟩ μεταστάντες, ὃν ἐπόθουν καὶ πρὸ τοῦ τέλους, ζηλωτότεροι ξύμπασι κατεστάθησαν —, ἐν ἀνθρώποις πρῶτον ἰσάγγελοι καὶ [πάλιν] ἀγγέλοις νῦν ἐνθεώτατοι.

Ἀνεπληρώσαμεν τὸν ἐκρυέντα δὲ σύνδεσμον.

Ἀντὶ τοῦ [πάλιν] προτείνομεν τὸ [ἐν] ἢ μᾶλλον τὰ [ἐν τοῖς].

2, 29 Ἃς (sc. Τραπεζοῦντα καὶ Χαλδίαν) καὶ πρόσθεν οὔσας ἐξαιρέτους ἀνέκαθεν ἔν τε θέ[ρους] καὶ ὡρῶν κράσει καὶ ἀέρων πνεύσει — οὗτοι καὶ περιβοήτους ἐν πόλεσιν ἀνέδειξαν.

Ἐπειδὴ τὸ θέρος γινώσκεται τῶν τεσσάρων ὡρῶν μία οὖσα, γράφομεν ἡμεῖς τὸ [θέ]σει. Locum communem ἔχουσιν οἱ Χριστιανοὶ βιογράφοι εὐθὺς ἐν ἀρχῇ τοῦ αὐτῶν λόγου τὴν θέσιν τῆς πατρίδος τῶν ἐγκωμιαζομένων ἁγίων· ἡ θέσις ἀκούει συχνότατα ἐξαίρετος.

3, 17 Ἐπεὶ δὲ τοὺς οὕτω μὲν ἱερᾶς κατ᾽ ἄμφω πατρίδος οὕτω δὲ γένους περιδεξίου καὶ πατριᾶς τιμίας — εὖ ἔχοντας κἀντεῦθεν καὶ διδασκάλους κατ᾽ ἐκεῖνο καιροῦ τῶν τηνικαῦτα Χριστιανῶν καὶ ὄντας καὶ πανταχοῦ γῆς διακηρυττομένους οὐκ εἰκὸς ἦν ὑπὸ μόδιον κρύπτεσθαι καὶ γῆς ἐλαχίστῳ μέρει καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς συγκαλύπτεσθαι, ὅπως μὴ ἀμάρτυρον· ᾖ τὸ καλὸν καὶ γῆς τοῖς πέρασιν ἀνεπίμικτον, οὐδέ γε τοὺς οὕτω βιοῦν ἐπανῃρημένους καὶ ὁσημέραι τοιουτοτρόπως διαβιῶναι καὶ τοὺς λοιποὺς λόγοις ἅμα καὶ πράξεσιν ἀναπείθοντας ἐξὸν ἦν τὰς πάγας διαδιδρᾶναι τοῦ πονηροῦ, μήπως ἀγέραστον μείνῃ τὸ κατορθούμενον ὡς μὴ τοῦτο λόγοις ὑποκύψαν νομίμοις ἀθλήσεως. Οὔκουν οὐδ᾽ ἐν τούτοις ἀλλοίως συμβέβηκεν· οὔτε γὰρ εἰς ἅπαν ὁ φαίνων κατεκρύβη λύχνος οὔθ᾽ ὁ πολὺς θησαυρὸς ἐκαλύφθη οὔτε μὴν τὸ περιφανὲς καὶ οὐράνιον συνεσκιάσθη πολίτευμα, ὁδῷ μέντοι γε προϊόντα ταῦτα, καθὰ προϊὼν

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

ὁ λόγος δηλώσειε, καὶ εἰς φαῦσιν ἦλθε καὶ πλουτισμὸν ἐχορήγησε καὶ τῷ κόσμῳ γέγονεν ἐμφανέστερα.

Αἱ δύο μακραὶ προτάσεις „Ἐπεὶ — οὐκ εἰκὸς ἦν —“ „οὐδέ γε [= καὶ ἐπεί γε οὐκ] — ἐξὸν ἦν —“, αἱ σφιγκτῶς ἀλλήλαις κατὰ τὴν ἔννοιαν συνημμέναι (οὕτως ὥστε ἡ δευτέρα οὐδαμῶς ἐκληπτέα ἀπόδοσις τῆς πρώτης), κοινὴν ἀπόδοσιν ἔχουσι τὴν πρότασιν „Οὔκουν οὐδ' ἐν τούτοις ἀλλοίως συμβέβηκεν“:

Ἐπεὶ δὲ — οὐκ εἰκὸς ἦν — οὐδέ γε — ἐξὸν ἦν —, οὔκουν οὐδ' ἐν τούτοις ἀλλοίως συμβέβηκεν.

Ἡ διάστιξις τῶν προτάσεων τοῦ Βυζαντιακοῦ λόγου, συχνότατα δεινῶς μακρῶν οὐσῶν καὶ ἀφορήτως σχοινοτενῶν, ὀρθῶς καὶ ἐπιτηδείως γινομένη ποιεῖ τὴν κατάληψιν τῶν λεγομένων εὐχερῆ καὶ ἀποτρέπει ἀπὸ παντοίων παραδιορθωμάτων. Ἡ στίξις τῶν Βυζαντιακῶν κωδίκων λέγεται στίξις per euphemismum.

Τὸ δηλώσειε διορθωτέον δηλώσει.

4, 28 Οἳ (sc. Διοκλητιανὸς καὶ Μαξιμιανὸς) τῆς ἀρχῆς αὐτίκα καὶ τῶν βασιλείων σκήπτρων ὡς εἶχον ἐπειλημμένοι καὶ τοῦτ' αὐτὸ παρὰ τῶν ἐκείνοις εἰδώλων δεισιδαιμονίας ἆθλον νομίσαντες ἀπενέγκασθαι — διωγμὸν κατὰ Χριστιανῶν ἐγείρουσιν ἐπαχθέστατον.

Ἡ δοτικὴ ἐκείνοις ἵσταται μετέωρος· ἢ ὁ ἀντιγραφεὺς ἢ ὁ ἐκδότης παρέλιπε λέξιν τινά, φίλων?, λατρευομένων?, τιμωμένων? (ἤτοι πρὸ τῆς λέξεως ἐκείνοις ἢ μετ' αὐτήν).

5, 18 Ἐντεῦθεν Ἀγροικόλαον μὲν τὸν ἡγεμόνα αἱ τοῦτον οἷόν τι κακὸν ἀκένωτον καταδικασθεῖσαι πόλεις, ὅσαι περὶ τὴν Ἑῴαν εἶχον, καὶ ἄκουσαι [δέχονται], ὁ δοὺξ δὲ Λυσίας — Φρυγίας καὶ Βιθυνίας ἔτι δὲ καὶ Παφλαγονίας αὐτῆς καὶ — τῆς ἐπέκεινα τοῦ καθ' ἡμᾶς Ταύρου κεῖσθαι γινωσκομένης τὸ κῦρος ἀναζωσάμενος — κατὰ Χριστιανῶν ὁμόσε χωρεῖ καὶ τὸν ἰὸν αὐτίκα τῆς θανατηφόρου λύμης ἀπὸ γραμμῆς αὐτῆς ὑπερχεῖ δυεῖν αἰτίαν. Θατέρας γοῦν οὐκ ἀμοιρήσειν ἐκεῖνος πάντως οἰόμενος, ἢ γὰρ τὸ ὑπήκοον ἐκπλήξειν τῷ λεοντώδει τοῦδε βρυχήματι καὶ τῷδε τὴν ἀρχὴν προχείρως πεπορθηκέναι ἢ φοβερὸν αὐτὸν καὶ δυσπρόσιτον τοῖς ὁπωσοῦν ἀποδυσπετεῖν ἐθέλουσι καταστήσειν ἢ γοῦν, εἰ μὴ καὶ ταῦτα, τοῖς γε μέντοι προχειρίσασι βασιλίσκοις κάλλιστα δοῦναι προοίμια καὶ αὐτόν, ὡς ᾤετο, ἐπιδείξειν ὡς οὐκ ἀπὸ γνώμης ἐκείνων ἔσται σοβαρευόμενος κἀντεῦθεν ἑαυτῷ πλείω τὴν κοσμικὴν εὔκλειαν ἐκεῖθεν καὶ μονιμωτέραν ἑλκύσασθαι.

Ἰδοὺ παράδειγμα καλὸν τοῦ πράγματος ὃ ἀνωτέρω ἐλέγομεν περὶ τῆς στίξεως.

Πρῶτον, ἐν τῷ τόπῳ τῆς λέξεως δέχονται ὁ κῶδιξ οὐδὲν ἔχει χάσμα („cod. ἄκουσαι. ὁ δοὺξ“ παρατηρεῖ ὁ ἐκδότης), τὰ δὲ „ὅσαι



Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

*περὶ τὴν Ἑῴαν εἶχον*" δυσκολώτατα σημαίνουσι τὰ „*ὅσαι περὶ τὴν Ἑῴαν ἦσαν*" (ἢ *ἔκειντο*). Κατὰ τὸν κώδικα αὐτὸν γράφε:

Ἐντεῦθεν *Ἀγροικόλαον μὲν τὸν ἡγεμόνα αἱ — πόλεις*, ὅσαι *περὶ τὴν Ἑῴαν, εἶχον καὶ ἄκουσαι*· ὁ δοὺξ δὲ *Λυσίας* etc. (11, 21 *τὴν ἔχουσαν τὸν Λυσίαν Σαταλέων γῆν*· 13, 9 *εἶχε — ἐκείνους — Χαλδία*· 15, 28 *εἶχε δὲ ἤδη καὶ τὸν δοῦκα Λυσίαν ἡ Τραπεζοῦς*).

Ἀφορμὴν λαβοῦσιν ἡμῖν ἐπιτραπήτω ἐνταῦθα παρατήρησίς τις περὶ σημείων τινῶν, ὧν νῦν γίνεται χρῆσις ἐν ταῖς ἐκδόσεσιν ἄλλως ὑπὸ ἄλλων ἐκδοτῶν Βυζαντιακῶν Κειμένων, λέγομεν δὲ τὰ ( ), ⟨ ⟩, [ ]. Νομίζομεν ὅτι ἀνάγκη συμφωνίας τῶν ἐκδοτῶν ἐν τῇ ἐννοίᾳ τῶν σημείων τούτων· καλὴ φαίνεται ἡμῖν ἡ συνήθεια καὶ ἄλλων καὶ τοῦ Blass ἡ ἑξῆς:

[ ] ad notanda ea quae in charta olim fuerunt,
⟨ ⟩ ubi contra chartam aliquid addendum videtur,
⟦ ⟧ ubi delendum aliquid quod in ea exstat.

Καὶ ἄλλα δέ τινα σημεῖα ὑπάρχουσιν ὧν ἐν τῇ χρήσει ἀνάγκη συμφωνίας τῶν ἐκδοτῶν.

Ἀλλ' ἐπανιτέον ὅθεν παρεξέβημεν.

Δεύτερον, τὸ μέρος τὸ μακρὸν „*Θατέρας — ἑλκύσασθαι*" στερεῖται οἰκείου ῥήματος: *οἰόμενος οὐκ ἀμοιρήσειεν θατέρας* (sc. *αἰτίας*)" τί ποιεῖ; Καὶ ἄλλως, τὰ „*ὑπερχεῖ δυεῖν αἰτίαν*" τί δηλοῦσι; Τῶν κακῶν πρόξενος ἐγένετο ἡ κακὴ διάστιξις ἣν ἡμεῖς ὧδε μεταβάλλομεν:

*τὸν ἰὸν — ὑπερχεῖ, δυεῖν αἰτίαιν θατέρας γοῦν οὐκ ἀμοιρήσειν — οἰόμενος*· ἢ γὰρ etc. — (Περιττὸν εἰπεῖν πῶς συντακτικῶς ἐξηγητέαι αἱ ἀπαρέμφατοι *ἐκπλήξειν — πεπορθηκέναι — καταστήσειν — δοῦναι — ἐπιδείξειν — ἑλκύσασθαι*).

6, 22 *Ἀλλὰ τί τούτων ἡμῖν τῶν διηγημάτων; ἴσως ἂν εἴποι τις τῶν λίαν φιλευγενίων τε καὶ φιλομαρτύρων. Εἴπερ τίς ἐστιν ἐμοῦ κἂν τῷ μέρει τούτῳ φιλοτιμότερος, κίνει τὸν λόγον ἐπὶ Χαλδίαν κἀντεῦθεν ἄγε δὴ μετάβηθι καὶ τὸν Τραπεζοῦντος κόσμον ἄεισον.*

Μεταστικτέα ταῦτα ὡς ἑξῆς:

*τῶν διηγημάτων; ἴσως ἂν εἴποι τις τῶν λίαν — φιλομαρτύρων, εἴπερ τίς ἐστιν ἐμοῦ — φιλοτιμότερος· κίνει* etc.

7, 2 *Κἂν τούτῳ μᾶλλον περιτρεπομένου τῷ μέρει καὶ τοῖς οἰκείοις ἁλισκομένου πτεροῖς.*

Αἰσωπείων μύθων ἐκδόσεως Halm 4 *Ἀετὸς καὶ* 4b „*Τοξότης καὶ Ἀετός*", Ἀποστόλιος ΙΕ' 88a „*Τάδ' οὐχ ὑπ' ἄλλων ἀλλὰ τοῖς αὐτῶν πτεροῖς | ἁλισκόμεσθα*", Nauck εἰς Αἰσχύλου ἀπόσπασμα 139.

7, 9 *Ἔργον Λυσίου καὶ τῆς ἐκείνου μανίας καὶ ῥοπῆς γεγόνασι*

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

παρανάλωμα τέως. Ἐκεῖνος τὰ ἐν Σεβαστείᾳ τῇ πόλει κατὰ τὸ δοκοῦν καλῶς, ὡς ᾤετο, διαθέμενος, εἰ καὶ σχολαίῳ ποδί, διὰ τῶν Νικοπολιτῶν ἐς κώμην Σάταλα παρεγένετο. Ἀλλά γε ὀψὲ κἀκεῖθι βαδίζων ἧκε τυραννισόμενος.

Πρῶτον, τὸ τέως συναπτέον τοῖς ἑπομένοις αὐτῷ:

γεγόνασι παρανάλωμα. Τέως ἐκεῖνος — διαθέμενος etc. (8, 4 τέως κακῶς δικάσας ὁ τύραννος — πρὸς τὸ χεῖρον κακὸν καὶ τελευταῖον ἔβλεψε· 21, 1 τέως δημίων ἐπιλεξάμενος — τοὺς ἀλάστορας — τὸν ἅγιον μεταπέμπεται· 28, 31 τέως ἱκανῆς ὥρας παραδραμούσης — ψῆφον ἐπήνεγκε).

Δεύτερον, ἀλλήλοις ἀντίκεινται τὰ „εἰ καὶ σχολαίῳ ποδὶ — παρεγένετο“ „Ἀλλά γε — ἧκε —“:

διαθέμενος εἰ καὶ σχολαίῳ ποδὶ διὰ τῶν Νικοπολιτῶν ἐς κώμην Σάταλα παρεγένετο, ἀλλά γε“ etc.

Τρίτον, τὸ τυραννισόμενος μεταγραπτέον τυραννησόμενος· τὸ μὲν τυραννίζω σημαίνει ἄλλο τι, τὸ δὲ τυραννίζομαι ἅπαξ εὑρεθὲν ὡς παθητικὸν (τυραννιεῖσθαι παρ' Εὐσταθίῳ ἀντὶ τοῦ ἀποκατασταθέντος τυραννεῖσθαι) οὐδαμῶς ἐπιστεύθη.

8, 26 Τὴν ἐκηβόλον Ἄρτεμιν, Ἄρεα τὸν βροτολοιγὸν καὶ πρό γε τούτων καὶ πλείστων ἄλλων Λοξίαν προσεκύνουν, τὸν Μίθραν, ὃς Ἀπόλλων ἐστὶ πολλοῖς ὀνόμασι φημιζόμενος καὶ πολλοὺς δι' αὐτῶν πολλάκις εἰς ἀπωλείας βάραθρον ἐκκαλούμενος.

Ἀξιώτατον παρατηρήσεως καὶ προσοχῆς χωρίον πρόκειται ἡμῖν. Ἕνεκα τίνος λόγου ὁ ἐγκωμιογράφος εἰπὼν τὸ Λοξίαν ἐπήνεγκε τὰ „ὃς Ἀπόλλων ἐστί“; Πρὸς τὴν ἐρώτησιν ταύτην, ἥτις ἴσως ἂν φανῇ τινι παράδοξος ἐν ἀρχῇ, ἀποκρίνεται κατὰ τὴν ἡμετέραν γνώμην τὸ ἀκολουθοῦν „εἰς ἀπωλείας βάραθρον ἐκκαλούμενος“. Καθόλου οἱ βιογράφοι τῶν ἁγίων ῥέπουσιν εἰς τὸ ἐτυμολογεῖν τὰ ὀνόματα προσώπων, μιμούμενοι τοὺς ἀρχαίους τραγικοὺς ποιητάς, αἱ δ' ἐτυμολογίαι αὐτῶν πολλάκις μὲν εἰ μὴ τοῖς πράγμασιν ἀλλὰ γοῦν τῷ τύπῳ καὶ τῇ ῥίζῃ τῶν λέξεων οὐδαμῶς ἀντιμάχονται, πολλάκις δὲ ἐπινοοῦνται (ἄλλοτε χάριν ἄλλου σκοποῦ) γελοῖαι καὶ παιγνιώδεις (7, 9 ἔργον Λυσίου καὶ τῆς ἐκείνου μανίας = 15, 29 τὸν δοῦκα Λυσίαν — ὡς λυσσώδη κύνα λύττης ἀνάμεστον). Ἔχομεν ἡμεῖς συλλογὴν τοιούτων Βυζαντιακῶν ἐτυμολογήσεων καὶ παρετυμολογήσεων. Ἀλλά, ἴσως ἂν ἐρωτήσῃ τις, τί ἡ ἀπώλεια πρὸς τὸν Ἀπόλλωνα; Ἀποκρίνονται τὰ ἑξῆς χωρία· Αἰσχύλος ἐν Ἀγαμέμνονι 1080

> Ἄπολλον Ἄπολλον
> ἀγυιᾶτ', ἀπόλλων ἐμός·
> ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον·

Εὐριπίδης ἐν ἀποσπάσματι 781, 11 (Nauck σελ. 608)



Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

• ὦ καλλιφεγγὲς Ἥλι', ὥς μ' ἀπώλεσας
καὶ τόνδ'· Ἀπόλλων δ' ἐν βροτοῖς ὀρθῶς καλῇ,
ὅστις τὰ σιγῶντ' ὀνόματ' οἶδε δαιμόνων·

σχόλιον εἰς Εὐριπίδου Ὀρέστ. 1389 ἐκδ. Dindorf Τόμ. Β' σελ. 303, 26 (= ἐκδ. Schwartz σελ. 222, 1) „Ἀπολλωνίων τῶν ἀπολωλότων", Macrobius Sat. I 17, 10 „alii cognominatum Apollinem putant ὡς ἀπολλύντα τὰ ζῷα." Εἶπε δὲ καὶ ὁ Ἀρχίλοχος ἐκδ. Bergk 27

Ἄναξ Ἄπολλον, καὶ σὺ μὲν τοὺς αἰτίους
πήμαινε καί σφεας ὄλλυ' ὥσπερ ὀλλύεις.

Ἐν τῇ συλλογῇ ἡμῶν πρῶτον νῦν ἀνεγράψαμεν ἐξ ἁγιολογικοῦ ἔργου τὴν ἐτυμολόγησιν τοῦ ὀνόματος Ἀπόλλων (ἀπόλλυμι — ἀπώλεια, ἀπόλλων — Ἀπόλλων). Ἴσως καὶ ἄλλος τις καὶ ὁ Ἀθ. Παπαδόπουλος-Κεραμεὺς γινώσκει ἕτερον χωρίον· ἀλλ' ἐν τοῖς τοιούτοις πράγμασιν ἀνάγκη προσοχῆς καὶ πάλιν προσοχῆς.

9, 3 Τῷ ἐκεῖσε ξοάνῳ τούτου τελει[έ]σσας ὅλας ἑκατόμβας προσέφερον καὶ αὐτῷ Λοξίᾳ προσανεῖχον ὅσα καὶ σωτῆρι, [φη]μί, π[ληγ]ῆς ταμίαν κακῶς εἰδότες, καὶ ἀντιλήπτορι.

Τελειέσσας, sic?

Σφόδρα ὑποπτεύομεν τὸ ὑπὸ τοῦ ἐκδότου συμπληρωθὲν πληγῆς· βέβαιον οὐδὲν γινώσκομεν.

9, 30 Ἀλλ' ἐπειδὴ πάντα πράττειν οὐκ ἀποκνήσαντες πλὴν ὀλίγων, καὶ τούτων ἄλλων νυκτερινῶν (εἰπεῖν) μαθητῶν ἄντικρυς, διὰ τὸν φόβον τῶν ἀλαστόρων οὐκ ἴσχυσάν τινας ἐκκαλέσασθαι πρὸς ἐπίγνωσιν, πρὸς βουλὴν ἑτέραν εὐθὺς — προσετράποντο.

Τῆς μετὰ τὸ ἄντικρυς ὑποστίξεως προτιμῶμεν ἡμεῖς τὴν μετὰ τὸ ἀλαστόρων.

10, 29 Τὸν Μίθρου βουνὸν ὑπεραναβάντες ἤδη τουτὶ τὸ καινὸν ὡς εἶδον ξυμφόρημα, τὰ ἐν ποσὶν ἢ καὶ χερσὶν ἀφέντες αὐτάγγελοι γεγόνασι τοῦ θεάματος συνεχεῖ τοῦ ἄσθματος τὸ πλεῖστον τοῦ δράματος ὑποτέμνοντες.

Τοῦ θεάματος ⟨τῷ⟩ συνεχεῖ τοῦ ἄσθματος?

Τὸ δράματος ἔχομεν ἐν ἀμφιβόλῳ· οἱ ὑπεραναβάντες τὸν βουνὸν τὸ συμφόρημα ἰδόντες οὐδὲν ἄλλο εἶδον ἢ τὸν βωμὸν τοῦ Ἀπόλλωνος αὐτῷ ξοάνῳ εἰς ἔδαφος καταβεβλημένον· καὶ τοῖς ἄλλοις ἄρα τοῦτο μόνον καὶ ἁπλούστατον εἶχον εἰπεῖν. Λοιπόν, τί σημαίνουσι τὰ „τὸ πλεῖστον τοῦ δράματος ὑποτέμνοντες"; Ἡμεῖς εἰκάζομεν ὅτι οἱ αὐτάγγελοι τῷ συνεχεῖ τοῦ ἄσθματος ὑπέτεμνον τὸ πλεῖστον οὐχὶ τοῦ δράματος καὶ τῆς διηγήσεως τοῦ δράματος ἀλλὰ τῆς ὁδοῦ καὶ τοῦ δρομήματος, κατὰ τὸ ἐναντίον τῷ ἐν τῇ Σοφοκλέους Ἀντιγόνῃ φύλακι 223 „ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως τάχους ὕπο | δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα" 232 „χοὔτως ὁδὸς βραχεῖα γίγνεται μακρά".

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

11, 8 *Πρὸς γὰρ τὸν ἀνταγωνιστὴν καὶ ὁ φθόνος ἕρπειν μεμύηται.*

*Ὑποπτεύομεν τὸ μεμύηται, ἀλλ' οὐδὲν ὧν πολλῶν ἐπέρχονται ἡμῖν προτείνομεν. Τῷ ἐγκωμιογράφῳ πάντως προέκειτό τι χωρίον τῶν ἀρχαίων, πολλὰ δὲ τὰ τοιαῦτα εἴρηνται τοῖς ἀρχαίοις περὶ τοῦ φθόνου· ἀρκούμεθα μνημονεύοντες τὸ τοῦ Περικλέους κατὰ Θουκυδίδην „φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον" καὶ τὸ τοῦ χοροῦ τῶν Σαλαμινίων ναυτῶν κατὰ Σοφοκλέα*

*πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει·*

*ὅρα καὶ τὰ τοῦ* Jebb *εἰς Αἴαντος στίχον* 157, Sophocles the plays Part VII (Cambridge 1896) *σελ.* 34.

11, 15 *Κἂν ὅσῳ ταῦτα διεπεραίνετο καὶ ὁ δοὺξ Λυσίας ἤδη — ἐπιδημεῖν ἐμηνύετο.*

*Γράφε Κἂν (= τοῖς καὶ ἐν).*

*Λοιπόν, μήπως γραπτέον „ὁ φθόνος ἕρπειν μεμήνυται"* (sc. *ὑπὸ τῶν ἀρχαίων, = τῷ εἴρηται);*

12, 26 *Πυρσὸν ὅλον κακίας ἐκεῖθεν ὡς Ἐτναῖον ἄλλο πῦρ ἀνερροίβδησε.*

Sic, *καὶ ἐν τῷ Πίνακι* (Index) *σελ.* 169.

13, 18 *Πολλὰ μὲν οὖν τὰ πέριξ Ἐδίσκης καὶ Σωλοχαίνης ἀνερευνήσαντες, πολλὰ δὲ πλέον, κορυφὰς ὀρέων καὶ πεδιάδων νῶτα καὶ σχισμὰς καὶ σήραγγας, ἐκζητήσαντες* etc.

*Ἴσως οὕτως ἔχει ἡ στίξις ἐν τῷ κώδικι· τὸ δὲ ἀντικείμενον τοῦ ἐκζητήσαντες ἡμεῖς εὑρίσκομεν ἐν τοῖς „κορυφὰς ὀρέων καὶ πεδιάδων νῶτα καὶ σχισμὰς καὶ σήραγγας" τοῖς κειμένοις μεταξὺ δύο ὑποστιγμῶν ὡς δῆθεν ἐπεξηγήσει τοῦ δῆθεν ἀντικειμένου πολλά· τὸ „πολλὰ πλέον" (= τῷ πλέον πολλὰ) ἑρμηνευτέον ὡς προσδιορισμὸν τῆς μετοχῆς ἐκζητήσαντες (πολλὰ — τὰ πέριξ — ἀνερευνήσαντες). Ἀποβλητέαι ἄρα ἀμφότεραι αἱ ὑποστιγμαί, ἥ τε μετὰ τὸ πλέον καὶ ἡ μετὰ τὸ σήραγγας.*

14, 21 *Ἀλλ' οἱ κακοδαίμονες ἐκεῖνοι θηραταί, τῶν πάλαι ποτ' ἐπεὶ ποθουμένων οὐκ ἀμοιρήσαντες ὤφθησαν, καὶ τοῖς δυσὶ τὸν τρίτον ἐμπεδησάμενοι χειροπέδαις σιδηραῖς τοὺς τρεῖς περισφίγγουσι καὶ πρὸς Τραπεζοῦντα τούτους ἕλκουσι βιαιότατα.*

*Δυσκόλως ἐννοοῦμεν ἡμεῖς ταῦτα, καθόσον τί σημαίνει τὸ ἐμπεδησάμενοι καὶ τίνα ἔννοιαν ἔχει τὸ χωρίον „τοῖς δυσὶ τὸν τρίτον ἐμπεδησάμενοι"; Τοῦ ῥήματος ἐμπεδάω (ἐμπεδέω) — ἐμπεδῶ ἡ σημασία τυγχάνει γνωστὴ οὖσα, τὸ δὲ ἐμπεδησάμενοι κατ' ἀνάγκην = τῷ „περισφίγξαντες πέδαις"· τὸ ὅλον ἄρα ἔχει ἤτοι „τὸν τρίτον περισφίγξαντες πέδαις χειροπέδαις (σιδηραῖς) τοὺς τρεῖς περισφίγγουσι, ἢ „τὸν τρίτον ἐμπεδησάμενοι τοὺς τρεῖς ἐμπε-*

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

*δῶνται* (*ἐμπεδοῦνται*)", ἀμφότερα δὲ ἄτοπα. Παραλείποντες ὅτι τὸ (ἄλλοθεν ἄγνωστον) μέσον *ἐμπεδησάμενοι* προσπίπτει πως παράδοξον, ἀκολουθοῦντος αὐτῷ τοῦ *περισφίγγουσι*, ὁμολογοῦμεν ὅτι δυσκόλως καταλαμβάνομεν τὴν δοτικὴν *τοῖς δυσί*· τίνι λέξει συναπτέα αὕτη καὶ κατὰ τίνα ἔννοιαν;

Ὁ ἐγκωμιάζων ἐξέθηκεν ἀνωτέρω (14, 2) ὅτι οἱ δήμιοι τοῦ δουκὸς Λυσίου μετὰ πολλὰς ζητήσεις „Οὐαλεριανὸν — καὶ Κανίδιον — εὑρίσκουσι", „πλὴν δ' οὐκ ἄμφω ταὐτῶς εὑρίσκουσιν, ἀλλ' ἅτερον μὲν δι' ἑαυτῶν — θάτερον δὲ δι' Ἀκύλου τινός", τίνος τούτου; „νεανίου ἀροτριῶντος" ὃς „ἐπεὶ — τοὺς ἁγίους ὡς ἀνδράποδα πεδουμένους [*πεδέομαι* — *πεδοῦμαι*] — ἐσκέψατο καὶ τὴν αἰτίαν τῶν δρομέων ἐφράσατο —, πρὸς ἑαυτὸν ὅλως ἀναδραμὼν ζέσει πίστεως τὸν ζυγὸν ἀφεὶς καὶ τὸ ἄροτρον — τὸν τοῦ μαρτυρίου ζυγὸν ἀμφ' αὐτὸν ἤρατο, λαμπρᾷ τῇ φωνῇ Χριστιανὸν ἀποκαλῶν ἑαυτὸν κἀκείνοις ὁμόφρονα". Κατὰ ταῦτα οἱ δήμιοι δύο (πλὴν τοῦ Εὐγενίου) ζητοῦντες ἔλαβον ἑκόντα καὶ τρίτον (*τὸν τρίτον*, μετὰ τοῦ ἄρθρου *τόν*, λέγει ὁ ἐγκωμιάζων καθόσον ὁ Ἀκύλας ἐκ τῶν προτέρων ἦν γνωστὸς αὐτῷ τε καὶ τοῖς ἀκούουσι· 11, 13 „Ἀκύλου — τοῦ σφῶν πρώην μὲν ἀέκοντος μηνυτοῦ τελευταῖον δὲ καὶ ξυμμάρτυρος"), *ἠσφάλισαν ἑαυτοῖς καὶ τρίτον*, *ἐγένοντο κύριοι καὶ τοῦ τρίτου*. Πλησιάζομεν νῦν τῇ ἀληθείᾳ.

Ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ὑπάρχει καὶ ῥῆμα *ἐμπεδόω* — *ἐμπεδῶ* καὶ *ἐμπεδόομαι* — *ἐμπεδοῦμαι* (καὶ μέσον καὶ παθητικόν), διαφόρου καὶ συνθέσεως καὶ σημασίας. Γραπτέον ἄρα *ἐμπεδωσάμενοι*, ὃ καὶ κεῖται ἐν τῷ κώδικι μαρτυροῦντος τοῦ ἐκδότου („cod. *ἐμπεδωσάμενοι*), καὶ μεταστικτέον:

θηραταὶ τῶν πάλαι ποτ' ἐπεὶ ποθουμένων *οὐκ ἀμοιρήσαντες* [= θηραταὶ ἐπεὶ οὐκ ἀμοιρήσαντες τῶν πάλαι ποτὲ ποθουμένων] ὤφθησαν καὶ τοῖς δυσὶ τὸν τρίτον ἐμπεδωσάμενοι, *χειροπέδαις* — τοὺς τρεῖς περισφίγγουσι.

Οὕτω καὶ ἡ μετοχὴ *ἐμπεδωσάμενοι* (οὐχὶ ἡ *οὐκ ἀμοιρήσαντες*) συντάσσεται τῷ ῥήματι *ὤφθησαν* (ὁ μετὰ τὸ ῥῆμα σύνδεσμος καὶ ἀναφέρεται εἰς τὰ „*τὸν τρίτον ἐμπεδωσάμενοι*" προσθετικῶς (= auch, οὐχὶ und) ἐν σχέσει πρὸς τὰ „*τῶν πάλαι ποτὲ ποθουμένων οὐκ ἀμοιρήσαντες*) καὶ αἱ ἄλλαι δυσκολίαι αἴρονται πλὴν μιᾶς, τῆς κατὰ τὴν δοτικὴν *τοῖς δυσί*· ταύτης ἀπροθέτου οὔσης ἀνέμενέ τις μᾶλλον τὴν ἐμπρόθετον „*σὺν* [ἢ *πρὸς*] *τοῖς δυσί*", πλὴν ἐὰν ὑπολάβῃ ὅτι ὁ ἐγκωμιογράφος εἶπε τὸ *τοῖς δυσὶ* κατ' αἰτιολογικὴν ἔννοιαν.

Ἀληθῶς ἐφθαρμένου χωρίου τὴν διόρθωσιν πολλοὶ πολλάκις ὠνόμασαν χρῆμα εὐχερέστερον καὶ βραχυλογώτερον τοῦ ἐλέγχου τῆς παραδιορθώσεως χωρίου ὑγιῶς ἔχοντος.

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

14, 28 *Τῆς συνήθους πρὸς Θεὸν δοξολογίας οὐκ ἐπελάνθανον* ΤΌ *σύνολον.*

*Γράφε „ἐπελανθάνον*ΤΟ *τὸ σύνολον“.*

15, 31 *Τοῖς ἔργοις ἦν οὗτος κυνώδη βίον ἕλκων καὶ τρόπων ἄλλων καθυλακτῶν ἐκείνων* (sc. *τῶν κυνῶν*) *ὠμότερα.*

*Γράφε „τρόπον ἄλλον“.*

16, 4 *Ὑπελείπετο δέ τι κολαστήριον εἶδος οὐκ ἐφελκόμενος; Οὔμενουν, ἀλλὰ πάντα ἦσαν εὐθὺς αὐτῷ παριστάμενά τε καὶ γνωριζόμενα, τά τε ὄργανα καὶ τὰ βασανιστήρια ἥ τε μανία ἡ μετ' ἐκπλήξεως, τὸ ἰταμὸν καὶ ὁ τῶν δημίων ἑσμός. Πρὸς τούτοις πάντη περιφερόμενος, πᾶσαν μέντοι γε τὴν ἡμέραν ἐκείνην καὶ νύκτα τὴν μετ' αὐτὴν ἡσυχίαν ἄγειν ἑλόμενος — ἐς αὔριον τὰ κατὰ τοὺς ἁγίους δεῖν ἔγνωκε διασκέψασθαι.*

*Τὸ „Πρὸς τούτοις — περιφερόμενος“ οὔτε καθ' ἑαυτὸ ἐννοοῦμεν εὐκόλως οὔτε περὶ τοῦ δουκὸς Λυσίου λεγόμενον, ὃς εἵλετο πᾶσαν τὴν ἡμέραν καὶ νύκτα ἡσυχίαν ἄγειν. Μετάστιξον:*

*καὶ ὁ τῶν δημίων ἑσμὸς πρὸς τούτοις πάντη περιφερόμενος. Πᾶσαν μέντοι γε* etc.

17, 23 *Εἴ γε οὖν αὐτὸς ἡμῖν μᾶλλον πείθῃ καὶ — πάντες εἶπον οἱ παριστάμενοι — τῆς τῶν εἰδώλων πλάνης ἀποσπασθέντες Θεῷ ζῶντι καὶ ἀληθινῷ σὺν φόβῳ δουλεύσατε καὶ μόνῳ αὐτῷ σὺν τρόμῳ ἀγαλλιᾶσθε.*

*Τὰ „πάντες εἶπον οἱ παριστάμενοι“ οὕτω μεταξὺ δύο γραμμῶν* (—) *κείμενα οὐδεὶς ἐννοεῖ· γράφε:*

*Εἴ γε οὖν αὐτὸς ἡμῖν μᾶλλον πείθῃ καὶ πάντες, εἶπον* (sc. *οἱ μάρτυρες*), *οἱ παριστάμενοι* (sc. *πείθεσθε*), *τῆς τῶν εἰδώλων πλάνης ἀποσπασθέντες Θεῷ — ἀγαλλιᾶσθε* (17, 11 *ὦ δοὺξ καὶ ὅσοι τὸ παρὸν ἐπλήσατε θέατρον*).

18, 17 *Οἱ δήμιοι γοῦν καὶ πρώην μὲν μαρτυρικῶν αἱμάτων ἐμφορεῖσθαι πάντα τρόπον ἐθίσαντες, ἅτε δὴ καὶ φύσεως εἰς τοῦτο τυχόντες οὐκ ἀγενοῦς, καὶ διὰ τοῦτο μᾶλλον παρὰ παντὸς γένους καὶ ἡλικίας ἐξῃρημένοι καὶ προαιρέσεως, μήπω λαβεῖν τέλος ἀναμείναντες τὸ ἐπίταγμα, οἷά τινες θῆρες — ὁρμῶσι.*

*Ταῦτα διὰ πολλοὺς λόγους δυσκόλως πείθουσιν ἡμᾶς γράφοντας καὶ στίζοντας:*

*ἐθίσαντες ἅτε δὲ καὶ φύσεως εἰς τοῦτο τυχόντες οὐκ ἀγενοῦς, καὶ διὰ τοῦτο μᾶλλον παρὰ παντὸς γένους καὶ ἡλικίας ἐξῃρημένοι, καὶ προαιρέσεως μήπω λαβεῖν τέλος ἀναμείναντες τὸ ἐπίταγμα οἷά τινες* etc. (*Ἡ γενικὴ προαιρέσεως ἐξήρτηται ἐκ τοῦ τυχόντες κατὰ τὸ αὐτὸ τῇ ἑτέρᾳ γενικῇ φύσεως*).

20, 17 *Ἐκεῖσε γοῦν καὶ σύνεγγυς, ὡς ἔοικε, τὸ γύναιον, οἶμαι*

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

*δὲ παρὰ τοῦ προάγοντος αὐτῷ πονηροῦ πνεύματος, τῷ τόπῳ συναπαχθὲν* etc.

*Γραπτέον αὐτό.*

20, 26 *Εὑρήκαμεν· ἴστε πάντες τὸν κρυπτόμενον, βακχικὸν βοῶσα, εὑρήκαμεν.*

*Μᾶλλον δὲ „Εὑρήκαμεν, ἴστε πάντες, τὸν κρυπτόμενον.*

21, 7 *Κολαφιζόμενον, ἐμπαιζόμενον, ὥσπερ ἤδη τοὐναντίον τὴν αὐτὴν ὁδὸν θεώμεθα γεραιρόμενον καὶ τῷ πραιτωρίῳ τέλος παραπεμπόμενον.*

*Ὑπόστιξον μετὰ τὸ γεραιρόμενον.*

23, 3 *Προσηνάλωσα,* 27 *ἐξηνάλωσα.*

*Οὕτως ὁ ἐκδότης ἀντὶ τοῦ προσανάλωσα καὶ τοῦ ἐξανάλωσα τοῦ κώδικος, ἐν σελ.* 12, 19 *ἀφεὶς ἐν τῷ τόπῳ τὸ προσανάλωσαν· ἀλλ' ὁ ἀναύξητος τύπος ἀνάλωσα πολλαχόθεν γινώσκεται.*

23, 12 *Τούτοις τοῖς εὐγενέσιν Εὐγενίου τοῦ εὐγενοῦς ῥήμασιν ὁ δοὺξ Λυσίας ἐμβροντηθείς, καὶ ἀκοὴν καὶ νοῦν καὶ διάνοιαν καὶ συχνὴν ὥραν αναλαβὼν ἑαυτὸν — ἔφησε.*

*Τὰ „καὶ ἀκοὴν καὶ νοῦν καὶ διάνοιαν" συντακτέα τῷ ἐμβροντηθείς.*

24, 2 *Τὴν μάχαιραν — θήγεις κατὰ σαυτοῦ καὶ κατὰ σοῦ τὸ ξίφος ὠθεῖς.*

*Παροιμιακῶς πως (Κατὰ μαχαιρῶν κυβιστᾶν) εἴρηνται ταῦτα.*

24, 8 *Ὑμεῖς —, ὦ ἄνδρες, ὅσοι τῆς ἐμῆς ἀγάπης ἐπαπολαύοντες φαίνοισθε καὶ διὰ τοῦτο καὶ τὴν μεθ' ἡμῶν καθέδραν ἐλάχετε πάντοτε καὶ ὅσοι τῆς ἐμῆς καὶ βουλῆς καὶ γνώμης ἀκόλουθοι — ἐτάχθητε κἀντεῦθεν καὶ τῆς παρ' ἡμῶν εὐνοίας ἐπιτυγχάνετε, ἰδού, ὡς ὁρᾶτε, καὶ μαλακοῖς τοῖς λόγοις καὶ τοῖς ἀντιτύποις τὸν ἄνδρα τοῦτον ἐδοκιμάσαμεν ὡς ἂν — τὸν ἑξῆς χρόνον ἄμεμπτοι κατασταίημεν· οὐδὲ γὰρ ἂν ἐλείπομεν, ἐφ' ὑμῖν αὐτοῖς μάρτυσιν, εἰσηγησάμενοι πάντα τρόπον τὰ κάλλιστα οὐδὲ μὴν αὖθις τὰ χείριστα προτεινάμενοι.*

*Πρῶτον, μεταγραπτέον φαίνεσθε.*

*Δεύτερον, καὶ ὁ παρατατικὸς χρόνος ἐλείπομεν φαίνεται ὢν ἄτοπος καὶ ὁ σύνδεσμος ἄν. Τὸ τοῦ κώδικος ἀνελίπομεν μεταγραπτέον τάχιστα ἐνελίπομεν.*

26, 7 *Δία μοι καὶ Ἄρτεμιν ἐπιδείξατε καὶ Ἀπόλλωνα καὶ εἴπερ,* [*ὡς*] *εἰκός, φανεῖται καὶ κατὰ Θεὸν αὐτοὺς ἴδω γνωριζομένους, προσήκουσαν προσνεμῶ τούτοις — τὴν προσκύνησιν.*

*Γράφε φανεῖτε.*

27, 24 *Θαῦμα τοσοῦτον καὶ οὕτω πολλοῖς γέμον χαρᾶς καὶ δέους ἀναγνωρίσαντες.*

*Γράφε πολλῆς.*

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

28, 14 *Λαμπάδες πυρὸς κύκλῳ περιφλεγέθουσαι.*

*Γράφε πυριφλεγέθουσαι.*

28, 15 *Μέγας μεγαλωστὶ πρὸς ἔδαφος τανυόμενος.*

*Ὁμηρικαὶ αἱ λέξεις.*

28, 23 *Τῶν τεσσάρων ἀκοντισμὸς ἄγριος καὶ ἀνήμερος. Εἰ καὶ Θεὸς αὐτίκα μάλα ἐπικληθεὶς — τὴν μὲν φλόγα τοῦ πυρὸς ἐξετίναξε, τὸ δὲ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον ἀνέδειξε.*

*Ἡ μετὰ τὸ ἀνήμερος τελεία στιγμὴ μεταβλητέα εἰς ὑποστιγμήν· παράβαλε* 19, 8· 29, 18.

29, 23 *Θαῦμα — συμβέκηκε —, πολλοῖς τῶν πρὸ ἡμῶν ἀξίως διηγηθὲν καὶ ταῖς ἁπάντων παραπεμφθὲν ἀκοαῖς. Ὃ καὶ ὁ μακρὸς εἰσέπειτα χρόνος ἕξει μνημονευόμενον καὶ διὰ τοῦτο πρὸς ἡμῶν ἄρτι σιωπηθέν.*

*Καὶ ἡ μετὰ τὸ ἀκοαῖς, προστιθεμένης ὑποστιγμῆς μετὰ τὸ μνημονευόμενον.*

30, 1 *θεοφιλῶς* [*τῷ*] *Θεῷ προσευξάμενος.*

*Τὸ τῷ ἐκδότῃ ὀφειλόμενον τῷ περιττὸν ὃν ἀποδεικνύουσι καὶ πολλὰ ἄλλα χωρία καὶ τὸ* 14, 28 *„τῆς συνήθους πρὸς Θεὸν δοξολογίας“.*

30, 5 *Τὴν μακαρίαν κεφαλὴν εὐθὺς ἀποτέμνεται ἢ μᾶλλον εἰπεῖν τῆς εἰδωλομανίας αὐτὸς ἐκτέμνει σὺν τοῖς μάρτυσι τὸ βαθύρροιζον.*

*Γράφε βαθύρριζον.*

30, 27 *Τὴν δεξιὰν αὐτῶν* (sc. *τῶν μαρτύρων*) *καὶ τὰ τρόπαια Περσικὸν ὑπέστη σμῆνος μαχόμενον καὶ βαρβαρικὴ πληθὺς καὶ δύναμις τὸν θυμὸν αὐτῶν ἐπεσπάσατο. Τὴν σπάθην ἐπέγνω τούτων καὶ τὰ τροπώματα καὶ ὁ Περσάρχης Μελὶκ ἐκεῖνος ὁ βάρβαρος, ὡς Σενναχηρὶμ* [*δι'*] *ἀγγέλου τὸ πρότερον τὴν Ἱερουσαλὴμ ἐν κύκλῳ τροπούμενος.*

*Ὁ ἐκδότης γράφει „δι'* inserui“. *Καὶ ἐνταῦθα ἀνάγκη μακροῦ πως λόγου πρὸς ἀπόδειξιν τοῦ ἀστοχήματος· κατὰ τὴν Παλαιὰν Διαθήκην* (*καὶ ὁ ἐκδότης ἐμνημόνευσε* „Reg. IV, 35, 36. Esai. XXXVII, 36, 37“) *ὁ ἄγγελος τοῦ Θεοῦ ἐπάταξε* 185000 *ἐν τῷ στρατοπέδῳ τῶν Ἀσσυρίων πολιορκούντων τὴν Ἱερουσαλήμ· αὐτὸ τοῦτο λέγει ὁ ἐγκωμιογράφος, καὶ δὴ μετά τινος πικρίας καὶ δριμύτητος, ἄνευ τοῦ δι'· ἡ σύνταξις ἔχει:*

*ὡς Σενναχηρὶμ* (sc. *ἐπέγνω τὴν σπάθην καὶ τὰ τροπώματα*) *ἀγγέλου τὸ πρότερον τὴν Ἱερουσαλὴμ ἐν κύκλῳ τροπούμενος.*

*Δῆλον ὅτι ὁ λέγων ἐννοεῖ τόδε: „τὴν σπάθην καὶ τὰ τροπώματα τῶν μαρτύρων ἐδοκίμασεν ὁ Μελίκ, ὥσπερ τὸ πρότερον τὴν σπάθην καὶ τὰ τροπώματα τοῦ ἀγγέλου ἐδοκίμασεν ὁ Σενναχηρὶμ ἐκεῖνος τροπούμενος* [medium] *καὶ πειρώμενος τροπώσασθαι ἐν κύκλῳ καὶ διὰ πολιορκίας τὴν Ἱερουσαλήμ“· ὁ Σενναχηρὶμ τροπούμενος τὴν Ἱερουσαλὴμ ἔγνω τὰ τροπώματα τοῦ ἀγγέλου, ἐτροπώθη αὐτὸς ὑπὸ τοῦ ἀγγέλου.*

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

Ἔλθωμεν νῦν εἰς τὸ „[δι'] ἀγγέλου". Ὁμολογητέον ὅτι ὁ ἐκδότης δέχεται τὸ τροπούμενος (τὸ μέσον ὄν, ὡς εἴδομεν) ὡς παθητικὸν (ἀντὶ τοῦ δι' ἣν δυνατὸν καὶ τὸ ὑπ')· ἡ σύνταξις τότε ἔχει:

ὡς Σενναχηρὶμ (sc. ἐπέγνω τὴν σπάθην καὶ τὰ τροπώματα, τίνων?) δι' ἀγγέλου τὸ πρότερον τροπούμενος [passiv] τὴν Ἱερουσαλὴμ ἐν κύκλῳ.

Κατὰ ταῦτα, πῶς συντακτέαι καὶ ἑρμηνευτέαι αἱ λέξεις „τὴν Ἱερουσαλὴμ ἐν κύκλῳ"; Ὁ ἐκδότης βεβαίως ἐννοεῖ „τῆς Ἱερουσαλὴμ ἐν κύκλῳ", „κύκλῳ καὶ πέριξ τῆς Ἱερουσαλήμ"· ἀλλὰ τοῦτο ἀδύνατον, ἡ δ' αἰτία πάντων τῶν ἐκτεθέντων κακῶν κεῖται ἐν τῷδε, ὅτι ὁ ἐκδότης ἠστόχησε τῆς συντάξεως καὶ τῆς ἐννοίας τοῦ χωρίου· τῆς ἀστοχίας δὲ ταύτης ἡ ἀρχὴ ζητητέα ἐν τῷδε, ὅτι ὁ ἐκδότης ἐξέλαβε τὸ μέσον τροπούμενος ὡς παθητικόν.

31, 14 Ἢ τὸ παράπαν οὐκέτ' εἰσίν, ἢ οὖσαι, ὧν τινῶν εἰσιν, οὐκ ἐπιγινώσκεται.

Σφόδρα ἀμφιβάλλομεν ἡμεῖς ὅτι στίξις τοιαύτη, ἧς πολλοὶ ἐκδόται ὑπάρχουσι ζηλωταί, συντελεῖ εἰς τὴν κατάληψιν τῶν λεγομένων.

31, 1 Τῷ Ναζιραϊκῷ χορῷ καὶ τῷ ξύγκλιδι.

32, 14 Οὓς ὡς κακοῦργοι ἀκλεεῖς τόπους κατεδικάζεσθε, νῦν αὐτοὺς αὐχοῦντες δρᾶσθε, πανηγυριστήριά τε καὶ ὑμνητήρια καὶ θείου πνεύματος καταγώγια καὶ — οἰκητήρια.

Ἐξαλειπτέα ἡ μετὰ τὸ δρᾶσθε ὑποστιγμή, καθόσον τὰ πανηγυριστήρια — ὑμνητήρια — καταγώγια — οἰκητήρια συντάσσονται τῷ αὐτοὺς ὡς κατηγορούμενα αὐτοῦ.

II. Ἰωάννου τοῦ Ξιφιλίνου διήγησις θαυμάτων, σελ. 33—51.

35, 14 Τῆς δὲ κανδήλας ἔλαιον ἀρρυσάμενος.

35, 18 Ἰδίοις βαδίζων ποσὶ τὴν οἴκαδε ἵετο· 100, 24 ἵετο δὲ καὶ πρὸς τὸ Παΐπερτ. — (Ἀντὶ ἵετο).

35, 19 Δοξάζων τὸν τερατουργὸν Θεὸν καὶ τὸν αὐτοῦ θεράποντα Εὐγένιον.

35, 25 Συνεβούλευε τῷ νεανίᾳ θερμοῖς λοετροῖς ἀνακτᾶσθαι καὶ ῥωννύειν τὸ ταλαιπωρῆσαν τῇ μακρᾷ νόσῳ σωμάτιον, δεινοτέρᾳ ταύτῃ πολλῷ περιβαλεῖν ὁ δείλαιος μηχανώμενος.

Δεινοτέρᾳ (sc. ἄλλῃ νόσῳ) ταύτης (sc. τῆς πρώτης καὶ παλαιᾶς)?

35, 32 Ῥεῦμα παρεισφθαρὲν ἔξωθεν μέχρις ὀστέων καὶ μυελῶν αὐτῶν προσεχώρησε.

Προεχώρησε (προυχώρησε)? (38, 2 παθαινόμενα τὰ περὶ τὴν κύστιν εὑρόν, sc. τὸ ῥεῦμα, ἐκεῖσε προυχώρησε).

36, 13 Πολλαῖς ἀρεταῖς καὶ ἀγαθοεργίας κατάκομος.

37, 28 Ἀστικός. (Ὁ κῶδιξ ἀστυκός· χρῶνται οἱ μεταγενέστεροι

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

*καὶ ταύτῃ τῇ ἀδοκίμῳ γραφῇ). Ἐν* 94, 28 *„ἀστικῶν“ ὁ ἐκδότης οὐδὲν σημειοῦται.*

38, 11 *Καὶ θεῖον αὐτῷ ἐπιστάντα κατεπλούτισεν ὄνειρον* (51, 21 *τοὺς μέγαν προστάτην — πλουτοῦντάς σε*).

38, 28 *Ἡ δὲ μετ' αὐτὸν εἰς τὸν πλεύστην συμβᾶσα Νικήταν* (sc. *θαυματουργία) προσκείσθω τῇ ὑφηγήσει.* (62, 18 *τῆς ὀφειλομένης ἐκστάντα μικρὸν ἀφηγήσεως*).

40, 23 *Κατατολμήσας ἀφρόνως ἀνίπτοις χερσὶ τῆς ψυχῆς τὸν πολύτιμον μαργαρίτην ἐδέξατο.*

*Παροιμιακὸν τὸ „ἀνίπτοις χερσί“.*

41, 9 *Τάς τε βεβήλους καὶ ἀνοσίους πράξεις, ἃς ἐξ ἔτι νέων εἰργάσατο, κατὰ πρόσωπον αὐτοῦ ἱστῶντα καὶ διελέγχοντα.*

*Δαυὶδ ΜΘ'* 21 *„ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου“, ὃ χωρίον καὶ ἐπιφέρει ἀμέσως ὁ διηγηματογράφος.*

41, 18 *Τὸν προσπεφευγότα σε.*

*Ἴσως· ἀλλὰ* 44, 9 *„τῷ περιδόξῳ προσπέφευγε μάρτυρι“·* 47, 5 *„τῷ ἱερῷ τεμένει προσπέφευγεν“·* 49, 17 *„τοῖς ἀνθρώποις προσπέφευγε“.*

42, 13 *Καί ποτε τὸν ὁμόφυλον αὐτῷ λεών, χρείας καλούσης, εἰς τὸ πεδίον ἀθνουμιάσασθαι καί τινα τῶν βασιλικῶν διαγνῶναι διάταξιν, συνεξῄει καὶ αὐτός.*

*Ἐκβλητέαι αἱ δύο πρῶται ὑποστιγμαί· ἡ σύνταξις ἔχει: „καί ποτε χρείας καλούσης τὸν — λεὼν εἰς τὸ πεδίον“* etc.

42, 23 *Προσχόντα τοῖς ἐκ βάθους καρδίας στεναγμοῖς.*

44, 4 *Ἀναιδῶς ἐπεμβαίνουσαν γεγονὸς ἐκβοᾶν.*

*Γράφε γεγωνὸς* (70, 26 *εἰπόντας αὐτοὺς γεγωνόν*).

44, 12 *Ἀλλ' αἱ μὲν εἰς τοὺς Σκύθας εὐεργεσίαι τοῦ θεομάρτυρος, ἐκ πολλῶν εἰρηκότες ὀλίγας, τοιαῦται καὶ οὕτω θαύματος γέμουσαι.*

*Γράφε εἰρηκέναι* (49, 4 *αἱ τῶν ἰαμάτων ἀφέσεις, ὡς ἐκ πολλῶν εἰπεῖν ὀλίγας, τοιαῦται*).

44, 29 *Πλησίον τῆς μυρορρόης κατατεθεῖσα σοροῦ.* 50, 5 *ὃ δὴ τῆς μυρορρόης ὑπέρκειται τῆς ἁγίας σοροῦ* (*γράφε „ὑπέρκειται τοῦ ἁγίου σοροῦ“*).

*Τὰ Λεξικὰ ἀναγράφουσι μόνον τὸ μυρορρόας (ὁ) ὡς οὐσιαστικὸν ἢ καὶ ὡς ἐπίθετον· τὸ μυρορρόη ἡμεῖς ὑποπτεύομεν παραβάλλοντες:* 39, 9 *ἀγχοῦ δὲ κατακλιθεὶς τῆς μυρορρόου σοροῦ·* 53, 24 *ἐγγὺς γεγονὼς τῆς μυρορρόου σοροῦ τοῦ ἁγίου·* 63, 33 *τῇ μυρορρόῳ προσπίπτων αὐτοῦ σορῷ·* 112, 14 *τῆς μυρορρόου θείας αὐτοῦ σοροῦ.*

45, 6 *Ἐπίμενον.*

46, 1 *Ὁρᾷ τὸν ἅγιον — μετ' ὀργῆς τοῖς παρεστῶσιν αὐτῷ — διαλεγόμενον καί τινα ἀπότομον αὐτοῖς προστάξαντα πρόσταξιν. Οἱ*

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

*δὲ ἦν χαμᾶξε τὸν Μιχαὴλ ἐφαπλώσαντες τῶν χειρῶν ἐκκόψαι τὴν δεξιάν.*

*Οὐδὲν ἐννοοῦμεν καὶ γράφομεν:*

*πρόσταξιν· ἡ δὲ* (sc. *πρόσταξις*) *ἦν χαμᾶξε τὸν Μιχαὴλ ἐφαπλώσαντας* etc.

46, 25 *Ταῦτα εἰρηκότος αὐτοῦ, τῶν τριῶν τὸν νεώτερον παρρησιασάμενον προσιέναι τῷ ἁγίῳ καὶ ὑπὲρ τοῦ ἀνθρώπου γνησίως καθικετεύοντα, οἱ πολλοὶ τῶν ἀνθρώπων εἰπεῖν, „Ὑπὸ ἀγροικίας καὶ ἀφροσύνης ἃ λέγουσιν οὐ συνήκασι“· καὶ ὅς „Εἰ καί τι διὰ χειλέων ἥμαρτε καὶ ἀδικίαν εἰς ὕψος ἐλάλησε, δι' ἡμᾶς, ἱκετεύοντας, τυχέτω τῆς συγχωρήσεως καὶ μὴ ὑποστήτω ἐλεεινῶς τὴν τῆς δεξιᾶς ἐκκοπήν.*

*Οὐδὲν συνίεμεν καὶ γράφομεν:*

*καθικετεύοντα „Οἱ πολλοὶ τῶν ἀνθρώπων“ εἰπεῖν „ὑπὸ ἀγροικίας — οὐ συνήκασι“.*

*Γράφε „δι' ὑμᾶς ἱκετεύοντας τυχέτω* etc.

49, 30 *Διατεινομένων τὸν μέγαν ἰδεῖν θεομάρτυρα, ἐν σχήματι λυπουμένων καθήμενον καὶ τὴν παρειὰν τῇ χειρὶ προσερείσαντα θρηνεῖν.*

*Ἡ ἀπαρέμφατος θρηνεῖν συντακτέα τῷ ἰδεῖν (συνηθεστάτη τοῖς μεταγενεστέροις συγγραφεῦσι καὶ τῷ διηγηματογράφῳ Ἰωάννῃ τῷ Ξιφιλίνῳ ἡ τοιαύτη τοῦ ῥήματος δρῶ σύνταξις) καὶ ἄρα ἡ μετὰ τὸ θεομάρτυρα ὑποστιγμὴ ἐξαλειπτέα. Τὸ αὐτὸ σφάλμα παρετηρήσαμεν καὶ ἀλλαχοῦ πολλαχοῦ:* 43, 29—30, *παραδείγματος χάριν.*

50, 11 *Δάκρυσιν ὕμνοις κεράσαντες καὶ θρήνους ᾠδαῖς ἀναμίξαντες.*

50, 14 *Αὐτός ἐστιν ὁ παιδεύων καὶ πάλιν ἰώμενος.*

*Ἀξία παρατηρήσεως ἡ συνέμπτωσις (Δευτερονομ. ΛΒ'* 39 *„πατάξω κἀγὼ ἰάσομαι“) πρὸς τὴν ἀρχαίαν παροιμίαν „Ὁ τρώσας ἰάσεται“.*

50, 28 *Καταπραΰνει* (sc. *ὁ θαυματουργὸς Εὐγένιος*) *τὴν θάλατταν, κατευνάζει τὸν τάραχον, ἵστησι τῶν ἀνέμων τὸ βίαιον, κατατολμᾷ τῆς θαλάττης, τὰ σιτηγοῦντα πλοῖα παρασκευάζει, ἐπὶ τὴν ἡμετέραν διαπορθμεύει αὐτά, αἰσίους παρέχει τὰς τῶν ἀνέμων πνοάς.*

*Οὐδέτερον ἐννοοῦμεν, οὔτε ὅτι ὁ μάρτυς κατατολμᾷ τῆς θαλάττης οὔτε ὅτι παρασκευάζει τὰ πλοῖα, καὶ γράφομεν „κατατολμᾶν τῆς θαλάττης τὰ — πλοῖα παρασκευάζει“·* 49, 22 *„ἡ γὰρ θάλασσα — ἐτύγχανεν ἄπλωτος τῶν σιτηγῶν μὴ κατατολμώντων πλοίων αὐτῆς“.*

51, 22 *Ἐνταῦθα μὲν τῆς σῆς προμηθείας θερμοτέρας ἀξίωσον, ἐκεῖθεν δὲ μεθισταμένους τῶν ἀτελευτήτων καὶ αἰωνίων ἀγαθῶν μετόχους γενέσθαι εὐόδωσον.*

*Ἀντὶ τοῦ ἐκεῖθεν γραπτέον τὸ ἐκεῖσε ἢ γοῦν τὸ ἐκεῖθι.*

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

III. Ἰωσὴφ τοῦ μητροπολίτου λόγος, σελ. 52—77.

52, 16 *Δίκαιοι δ' ἂν εἶεν οἱ ὡς αὐτόχρημα τὴν δικαιοσύνην κτησάμενοι καὶ τὰς μαρτυρικὰς καρτερῶς* [*καρτερικῶς*?] *ὑπενεγκόντες βασάνους τό τε οἰκεῖον ὑπὲρ Χριστοῦ τοῦ σωτῆρος αἷμα ἐκχέαντες καὶ αὐτὸ ζῶντες ἀεὶ καὶ συμβασιλεύοντες καὶ τῶν παρ' ἡμῶν ἀπολαύειν εὐφημιῶν.*

*Τί αὐτὸ καὶ πῶς; Γράφε αὐτῷ*, sc. *τῷ Χριστῷ·* 72, 1 *ἀνὴρ ὢν εὐλαβὴς καὶ Θεῷ ζῶν·* 124, 7 *σοὶ ζῶμεν.*

53, 11 *Οὐκ ὀλίγοι καὶ γάρ με πρὸς τὴν παροῦσαν ὑπόθεσιν παρεκάλεσαν καὶ ζήλου τι κέντρον ἐνίεσαν, ἐπειδὴ καὶ νῦν οἱ μείζους ὄντες παιδείας ἁπάσης καὶ σοφίας κατώκνουν τὴν ἐπιχείρησιν.*

*Γράφε πιθανῶς μὲν ἐνεῖσαν, βεβαίως δὲ μείζονος.*

53, 27 *Συμμύξαι τὰ βλέφαρα.*

57, 8 *Ὁ τῆς μονῆς ἀφηγούμενος.* (86, 25 *ὁ τῆς μονῆς — καθηγούμενος·* 99, 7. 108, 32.).

58, 19 *Ἐπὶ τῇδε τῇ καινῇ καὶ θαυμαστῇ ἑορτῇ — ἐχρῆν καὶ ὑμᾶς — συνεστιάτορας εἶναι καὶ κοινωνοὺς ἐπί τε τῷ καταβαλεῖν ἀναλόγως τοῖς ἄλλοις τὸ εἰς χρείαν αὐτοῖς ἱκανὸν καὶ τῷ κοινῇ ἀνυμνῆσαι.*

*Τὸ ἀδιανόητον αὐτοῖς μετάγραφε αὐτῆς*, sc. *τῆς ἑορτῆς·* 65, 26 *τὰ δὲ πρὸς χρείαν τῆς ἑορτῆς ταυτησὶν ἐκ τῶν βασιλικῶν ταμιείων τῇ μονῇ ἐμπαρέχεσθαι.*

59, 5 *Στρατείας ὑπούσης, νόμων ὑφεστηκότων καὶ ζῶντος, φάναι, βασιλέως ἐν ὅπλοις ἅπαν ἀπῄει βίαιον.*

*Γράφομεν λειπούσης (προηγεῖται ἀμέσως τὸ „τὰ πράγματα βαθεῖαν ἦγεν εἰρήνην") καὶ ἀπῆν.*

59, 8 *Καὶ αὐτὸς ἀνεβάλλετο τὸν οἶκτον ὁ Κύριος καὶ ὠργίσθη θυμῷ* etc.

60, 4 *Ἀλλὰ καὶ ὁ ποιητὴς ἐν ποιήσει γενναίως ὑπερεκθειάζεται Ὅμηρος ἥ τε καθ' ἡμᾶς ἱστορία παραδηλοῖ, Σαμψών τε φημὶ καὶ τοὺς παραπλησίους αὐτῷ τυγχάνοντας.*

60, 18 *Ἐπεὶ δ' ὡς ἔφθην εἰπεῖν ἐκείνους μὲν τοὺς γενναίους οἱ ἐν λόγοις πάλαι ἀκρέμονες ἱστορικῶς ἐξηγήσαντο καὶ τὰ κατ' ἐκείνους εὖ συνεγράψαντο, ἡμεῖς δ'· οὐχ ὁμοίως ἐκείνοις, τὸν τοιοῦτον καὶ τηλικοῦτον ἀγαμένως τὴν σύγκρισιν, κἂν οὐκ ἐν δυνάμει λόγου, ἀλλά γε μὴν τῇ προθέσει τὸν πόθον προσαφοσιώσαιμεν.*

*Γράφε εἰπὼν καί:*

*ἡμεῖς δ' οὐχ ὁμοίως ἐκείνοις τὸν τοιοῦτον καὶ τηλικοῦτον, ἀγαμένως τὴν σύγκρισιν, κἂν οὐκ ἐν δυνάμει λόγου ἀλλά γε μὴν τῇ προθέσει τοῦ πόθου, προσαφοσιώσαιμεν.*

61, 4 *Ἄλλος γὰρ αὐτὸς* (sc. *Ἀλέξιος ὁ Κομνηνὸς*) *ἄντικρυς ἦν νέος Ἀδὰμ ἢ πάγκαλος Ἰωσήφ. Οἱ δέ γε πλούτῳ βρίθοντες ἀνέκαθέν*

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

τινες πάλαι μεμέτρηνται καὶ λίαν εὔποροι· ἀλλά γε καὶ οὗτος παμπλούσιος ἦν κατὰ Πλάτωνα.

Οὐδὲν ἐννοοῦμεν· καὶ ὁ κῶδιξ μαρτυροῦντος τοῦ ἐκδότου ἔχει „πάγκαλλος. ἰωσὴφ εἰ“, ἄριστα:

ἢ πάγκαλος Ἰωσήφ· εἰ δέ γε πλούτῳ βρίθοντες ἀνέκαθέν τινες πάλαι μεμέτρηνται καὶ λίαν εὔποροι, ἀλλά γε καὶ οὗτος παμπλούσιος ἦν etc.

61, 29 Ῥήτοράς τε καὶ φιλοσόφους, ἀκέστορας ἅμα καὶ ἀστρονόμους λογάδην ἐπιλεξάμενος (sc. Ἀλέξιος) προσεκτήσατο. Πλούτου καὶ τιμῆς ἄρα ὑπερεμπλήσας αὐτοὺς λόγῳ τὴν πρᾶξίν τε καὶ φρονήσει τὴν ἀνδρίαν κοσμῶν, εὖ μάλα κἀν τούτοις εἰδὼς τὸ διάφορον.

Ἡ μετὰ τὸ προσεκτήσατο τελεία στιγμὴ μεταβλητέα εἰς ὑποστιγμήν.

62, 7 Οὗ δὴ δράκοντος καὶ ἐροῦμεν, οἷόν τι χρῆμα ἐφάνη καὶ ὅπως ἀνῄρηται, κατιώτερον· τοῖς δ' ἀνωτέρω ῥηθεῖσιν ἡμεῖς τὰ λοιπὰ προσαρμόσωμεν. Ἔτι θηριογνώμων ἦν πρὸς τοὺς ἀτάκτους, πρὸς δὲ τοὺς εὐτάκτους τοὐναντίον πραῦς.

Τὰ „οἷόν τι χρῆμα ἐφάνη καὶ ὅπως ἀνῄρηται“ κακῶς κεῖνται μεταξὺ δύο ὑποστιγμῶν, καθόσον ἡ γενικὴ δράκοντος (οὗ δὴ δράκοντος) ἐξήρτηται ἐκ τοῦ χρῆμα.

Δεύτερον, τὸ κατιώτερον (ἐσχηματισμένον ἐκ τῆς μετοχῆς κατιών?) ὑποπτεύομεν (κατώτερον).

Τρίτον, μεταστίζομεν „τὰ λοιπὰ προσαρμόσωμεν ἔτι. Θηριογνώμων ἦν“ etc.

62, 29 Μηδεὶς τωθαζέτω, μέμψιν ἐπάγων ἡμῖν ἐπὶ τοῖς ἤδη ῥηθεῖσιν, παρὰ τοῖς ἤδη ῥηθεῖσιν, ὡς παρὰ τὴν προκειμένην οὖσι τοῦ παρόντος λόγου ὑπόθεσιν, ἀλλὰ συγγνωμονείτω.

Τὸ ἀδιανόητον „παρὰ τοῖς ἤδη ῥηθεῖσιν“ ἐκβλητέον ὡς διττογράφημα.

63, 23 Ἀπαίρει (sc. Ἀλέξιος) πρὸς τὴν μονὴν — οὐ μόνον βασιλικῶς καὶ μετὰ τῆς ἀνηκούσης δορυφορίας ἀλλὰ καὶ οἰκετικῶς καὶ μετὰ τῆς ἐκ ψυχῆς αὐτοῦ προθυμίας καὶ δαψιλοῦς ἱκετείας.

Γράφε ἱκετικῶς. (Τὸ αὐτὸ σφάλμα ἐν τῷ κώδικι καὶ 41, 16 „ἱκετικῶς αὐτὸν παρεστῶτα“).

64, 4 Πρὸς συμμαχίαν κατὰ τῆς τοῦ δράκοντος ἰοβόλου πάλης ἐξεκαλεῖτο καὶ ᾔτει ταχεῖαν ........ καὶ ἀπαλλαγὴν αὐτοῦ σύντομον.

Ἤτοι ὁ ἀντιγραφεὺς ἢ ὁ ἐκδότης παρέλιπε μετὰ τὸ ταχεῖαν (ἢ καὶ πρὸ αὐτοῦ) ὄνομά τι· ὅθεν ἐτέθησαν ὑφ' ἡμῶν τὰ σημεῖα τοῦ λείποντος.

64, 17 Ὁ βασιλεὺς ἕστηκεν ἀντικρὺ ἀτρέμας, ὅλος αἰχμητής, ὅλος ὡς πῦρ ἀντιπνέων αὐτοῦ τε κατασείων τὸ δόρυ καὶ τὸ στίλβον ξίφος καὶ τάχος τοῦτον ἐκκαλούμενος πρὸς ἑαυτόν.

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

Τὸ δόρυ καὶ τὸ ξίφος εἶχε μόνος ὁ βασιλεύς, οὐδεὶς ἄλλος, ὥστε τὸ αὐτοῦ περιττόν· γράφε αὐτοῦ (sc. τοῦ δράκοντος) καὶ σύναπτε τῷ κατασείων.

Ξίφος, κατὰ τάχος? Ξίφος καὶ ⟨κατὰ⟩ τάχος?

65, 14 Πρόσεισι τῷ βασιλεῖ καὶ εἰς χεῖρας αὐτῷ ἐγχειρίζει καὶ ἀναπτύσσει καὶ διήει τὰ θαύματα.

Ὁ κῶδιξ διΐει, δίεισι?

65, 31 Ὅτε δὴ καὶ Γρηγόριος, ἐν ἱερεῦσι καὶ μονοτρόποις σεβασμιώτατος, ἤκμαζε [[καθ' ἡμᾶς]] παιδείας εἰς ἄκρον ἐληλακὼς τῆς τε θύραθεν καὶ τῆς καθ' ἡμᾶς, ὁ Χιονιάδης καλούμενος· ⟨ὃς⟩ προστάξει βασιλικῇ καὶ ἀξιώσει, ἅμα πρεπούσῃ δωροφορίᾳ, ἐπεσκεμμένως τὴν νῦν ᾀδομένην ἐξέθετο ὑμνῳδίαν.

Ἐκβάλλομεν τὸ ἀδιανόητον „καθ' ἡμᾶς" ὡς διττογράφημα, ἀναπληροῦμεν τὸ ἐκρυὲν ὅς.

67, 20 Ἀφιγμένος ἐκ ⟨τῆς⟩ Κωνσταντίνου.

Ἀνεπληρώσαμεν τὸ τῆς· 84, 24 „εἰς τὴν Κωνσταντίνου ἐπανελήλυθεν"· 115, 6. 134, 18.

68, 25 Τὸ νόσημα ᾔσθου ῥαΐσαν τῇ χρήσει τοῦ ἐλαίου;

Χρίσει? (75, 14 „ἔλαιον — λαβὼν καὶ ἀλείψας τὰς πληγάς"· 95, 27 „χρῖσιν — ἐκ τῶν μύρων").

69, 1 Ἡμῖν δ' ἐπ' ἄλλῳ τῶν θαυμάτων ὁ λόγος βαδιζέτω καὶ διηγείσθω.

Γράφε ἄλλο· 71, 3 „ὁ δὲ λόγος καὶ ἐφ' ἕτερον δίεισι θαῦμα"· 73, 9 „ἐφ' ἕτερον ὁ λόγος θαῦμα ὁρμᾷ"· 86, 14 „ἐπ' ἄλλα δὲ προβαίνειν ὁ λόγος ἐπείγεται", εἰ δή τις ἀνάγκη παραδειγμάτων ἐν οὕτω δήλοις πράγμασιν.

69, 21 Τεθνάναι δέ ποτε τῶν κακοδόξων ἀνδρῶν ἐκείνων ἐνίους φθασάντων, ἔπεισε κηδευθῆναι τούτους ἐν τῇ τοιαύτῃ θείᾳ μονῇ.

Διόρθου ἐνίων, ἢ γοῦν φθάσαντας (ἀφαιρῶν τὴν ὑποστιγμήν).

69, 29 Πληγὰς κατὰ κεφαλῆς καὶ ὤμων ἀφειδῶς ἀφορήτους αὐτοῦ, ὡς εἶχεν, εὐθὺς αὐτὸν καταικίζει καὶ τοσοῦτον ἐπέθηκεν αὐτῷ τὰς πληγὰς ἐπιτείνας ὡς καὶ ῥύακας αἱμάτων κρουνηδὸν κατὰ τοῦ ἐδάφους χεθῆναι.

Εἰ μὴ ἐξερρύη μετοχή τις, ἐξ ἧς ἐξαρτηθήσονται αἱ αἰτιατικαὶ „πληγὰς — ἀφορήτους" (ἐπιθεὶς — πλήξας — κατενεγκὼν — ἐπιτείνας?), γραπτέον „πληγαῖς — ἀφορήτοις" (πρὸς τὸ καταικίζει).

70, 13 Τούτων ἀκούσαντας ἐκείνους ἐκθαμβηθῆναι καὶ δέει ληφθῆναι πολλῷ καὶ τὸν ἅγιον Εὐγένιον μέγαν εἶναι καὶ τοὺς σὺν αὐτῷ μάρτυρας τοῦ Χριστοῦ καὶ δυνάμεις μεγάλας δυναμένους ποιεῖν.

Πρῶτον, καθ' ἑαυτὸ ὕποπτον προσπίπτει τὸ „δυναμένους ποιεῖν μεγάλας δυνάμεις"· δεύτερον, πόθεν ἤρτηται ἡ ἀπαρέμφατος εἶναι;

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

Ὑποπτεύομεν ὅτι ὁ ἐκδότης ἀνέγνω ἐν τῷ κώδικι τὸ ποιεῖν ἀντὶ τοῦ ἐν αὐτῷ ἴσως κειμένου εἰπεῖν· ἡ σύνταξις ἔχει: „ἐκείνους ἐκθαμβηθῆναι καὶ ληφθῆναι καὶ εἰπεῖν εἶναι τὸν ἅγιον Εὐγένιον μέγαν καὶ τοὺς μάρτυρας (sc. εἶναι μεγάλους) καὶ (sc. εἶναι) δυναμένους [= τοῖς καὶ δύνασθαι] μεγάλας δυνάμεις".

72, 9 Περὶ ὧν οἱ ἱππότροφοι κακῶς ἔδρασαν ἐπαπειλεῖ.

72, 17 Ὧι καὶ οὐκ ὀλίγοι τινὲς εἵποντο, ἐπειδήπερ ἤδη καὶ παρὰ πολλοῖς τὸ τῆς ἀφωνίας ἤκουσται καὶ διὰ θαύματος ἦν.

Ἤκουστο?

72, 26 Τὴν ἄφιξιν ἐπυνθάνετο καὶ τὴν αἰτίαν δι' ἣν ἐκεῖνοι παρεγένοντο· τῶν δὲ μή τι γινωσκόντων εἰπόντων, ὁ κωφεύων ὑπὸ τοῖς ποσὶν ἐκυλινδοῦτο τοῦ προεστῶτος.

Γράφε γινώσκειν.

74, 15 Ὡς εἴωθεν ἐν ἄλλοις ποιῶν.

Γράφε ποιεῖν.

74, 24 Ἕως ἂν ἄναυδος ὁ κείμενος ἐγεγόνει.

⟦ἂν⟧? — Ἀλλ' ὅμως καὶ 87, 25 „ἕως ἂν — πάλιν κατέλαβε".

74, 26 Ἐδεδίεσαν δὲ πολλά, ὑφορώμενοι χαλεπά.

Ἀποκλίνω μᾶλλον εἰς τὴν ἀποβολὴν τῆς ὑποστιγμῆς.

76, 2 Τῷ — μάρτυρι Εὐγενίῳ τυγχάνειν ὁμολογοῦμεν ἥδιον πάντως τῶν προσαγόντων ⟨τὴν προαίρεσιν⟩ ἢ ⟨τῶν⟩ προσαγομένων τὴν δύναμιν.

Ἄνευ τοιαύτης τινὸς ἀναπληρώσεως ἡμεῖς ὁμολογοῦμεν ὅτι δυσκόλως καταλαμβάνομεν τὸ χωρίον.

76, 25 Καὶ „οὐκ ὄψεται αὐτοὺς ὁ Κύριος" δεινῶς οἱ ἄθεοι φάσκουσιν, οὐδὲ συνήσει καὶ σωτηρία οὐκ ἔστιν ἐν τῷ Θεῷ αὐτῶν.

Καὶ αἱ λέξεις „οὐδὲ συνήσει" εἰλημμέναι εἰσὶν ἐκ τοῦ χωρίου τοῦ Δαυὶδ 93, 7 „Καὶ εἶπον, Οὐκ ὄψεται Κύριος οὐδὲ συνήσει ὁ Θεὸς τῷ Ἰακώβ".

77, 13 Τῶν ἀγήρω καὶ μακαρίων ἀγαθῶν ἀξιώσαις.

## IV. Σύνοψις θαυμάτων, σελ. 78—136.

78, 1 Ἀμέλει καὶ ἡμῖν μὲν ἐπιστῆσαι τῷ λόγῳ ᾑρημένοις τὰ θαύματα, ἅτε διὰ τὸ πλῆθος καὶ τὸν τούτοις ἑπόμενον ἴλιγγα, ἄλλως τε δὲ καὶ ἵνα μὴ τοῖς ἀκροωμένοις ἐπὶ πλέον διενοχλῶμεν (πολέμιος γὰρ ἀκοαῖς κόρος λόγου, ὥς τις ἔφη τῶν θαυμασίων ἀνδρῶν), καὶ τοῦτο ἤδη συνθεμένοις, ὡς γέγραπται, ὡς καὶ πέρας ἀγαγεῖν τῷ βουλήματι, ἀλλ' ὁ πόθος ὁ πρὸς τὸν — Εὐγένιον, ῥώμην τῆς εἰσέτι τούτων ὁρμῆς ἐνιείς, καὶ ἐφ' ἕτερα θαύματα τὴν προθυμίαν ἐπήγαγεν ἔτι χωρεῖν.

Ἡ σύνταξις ἔχει: „ἡμῖν μὲν ἐπιστῆσαι — ᾑρημένοις τὰ θαύματα — καὶ τοῦτο ἤδη συνθεμένοις — ἀλλ' ὁ πόθος — ῥώμην

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

τῆς εἰσέτι τούτων (sc. τῶν θαυμάτων) ὁρμῆς ἐνιεὶς ἐπήγαγεν καὶ ἐφ' ἕτερα θαύματα ἔτι χωρεῖν τὴν προθυμίαν"· αἱ δοτικαὶ „ἡμῖν — ἠρημένοις — συνθεμένοις" ἤρτηνται ἄρα ἐκ τοῦ ἐνιείς, πλὴν ἐάν τις ὑπολάβῃ αὐτὰς ἠρτημένας ἐκ τοῦ ἐπήγαγεν: „ἡμῖν ἐπήγαγεν τὴν προθυμίαν καὶ ἐφ' ἕτερα — χωρεῖν (sc. ἡμᾶς)". — Τὰ ἀκατάληπτα τοῦ λαβυρινθώδους χωρίου εἰσὶ τὰ „ἅτε διὰ τὸ πλῆθος"· δύο λόγους ἔχει ὁ ἐπιστῆσαι τῷ λόγῳ τὰ θαύματα ἠρημένος „διὰ τὸ πλῆθος καὶ τὸν — ἴλιγγα" καὶ „ἄλλως τε δὲ καὶ ἵνα μὴ — διενοχλῶμεν"· τὸ ἅτε ἄρα οὐδαμῶς ἔχει καλῶς καὶ ἤτοι ἐξαλειπτέον τοῦτο ἢ γραπτέον „διά τε τὸ πλῆθος".

78, 19 Οἷος ἦν πολιοῦχος καὶ πρόμαχος τῆς καλῶς ἐνεγκαμένης, οἷόν τι θεοδώρητον δῶρον αὐτόν".

Ἐξαλειπτέα ἡ ὑποστιγμή· τὸ αὐτόν, ὃ κατηγορούμενον ἔχει τὸ δῶρον, συντακτέον τῷ ἐνεγκαμένης ὡς ἀντικείμενον αὐτοῦ.

79, 12 Ἦν δή, φασί τινες, τῷ βασιλεῖ Μιχαὴλ — πρὶν παλλακεύεσθαι.

Ἐξαλειπτέαι αἱ ὑποστιγμαί· τὸ φασὶ ἀντικείμενον ἔχει τὸ παλλακεύεσθαι.

83, 9 Ὁ Φωκᾶς — οἰόμενος, πλὴν σφαλερῶς, ὡς, εἰ τύχοι κατ' αὐτοῦ βασιλέως ἐπιδραμὼν βάλοι καιρίαν, τῆς βασιλείας εὐθέως ἐγκρατὴς ἔσται. Τοῦτο παραλογισάμενος — κατ' αὐτοῦ βασιλέως ἐξώρμησε etc.

Διττῶς ἀσύντακτα ταῦτα· εἰκάζομεν ἡμεῖς ὡς πιθανώτατον:

ὡς, εἰ τύχοι κατ' αὐτοῦ βασιλέως ἐπιδραμὼν βαλὼν καιρίαν, τῆς βασιλείας — ἔσται, τοῦτο etc.

83, 32 Ἴσον· 89, 16 ἴσα.

85, 9 Τὸν μέγαν ἐπικαλεῖται εἰς βοηθὸν Εὐγένιον.

Πιθανώτατα ὁ κῶδιξ ἔχει τὸ ὀρθὸν βοήθειαν· 108, 14 „τὸν ἅγιον εἰς βοήθειαν ἐπικαλούμενοι"· 112, 21 „ἁγίους αἰτησάμενοι πρὸς βοήθειαν"· 118, 17 „λιπαροῦσιν εἰς βοήθειαν"· 119, 10 „ἀνεκαλεῖτο — τὸν ἅγιον εἰς βοήθειαν", εἰ ἀνάγκη τις παραδειγμάτων ἐν τοῖς τοιούτοις.

86, 8 Ὁ ἄναξ τῷ Θεῷ τὴν νίκην ἐπιγράφεται ταύτην Εὐγενίῳ τῷ μάρτυρι.

Γραπτέον ἤτοι „ταύτην ⟨καὶ⟩ Εὐγενίῳ" ἢ „Εὐγενίῳ ⟨τε⟩ τῷ μάρτυρι" (108,33 „ηὐχαρίστησαν τῷ Θεῷ καὶ τῷ θείῳ αὐτοῦ μάρτυρι").

86, 24 Ἐν ταῖς ἡμέραις ταῖς καλουμέναις προσφωνησίμοις.

Γνωστὸν καὶ τὸ „προσφωνήσιμος ἑβδομάς"· ἀλλὰ 87, 9 „τῶν προφωνησίμων — ἡμερῶν" καὶ 87, 26 „ἡ προφωνήσιμος ἑβδομάς".

87, 15 Τὰ τρία ἐκεῖνα τυροφόρα ἐν τῇ κοινῇ τραπέζῃ ὁ καθηγούμενος ἀποθεὶς etc.



Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

Τυροφορεῖα? Τυροφόρ<α δοχεῖ>α? — 87, 10 τυροφορεῖα τρία· 87, 18 τὰ τυροφόρα δοχεῖα· 87, 26 τὰ τυροφόρα ἐκεῖνα σκεύη· 87, 30 τὰ τυροκομεῖα.

87, 24 Ὑπερεῖδεν αὐτοὺς ὁ Ὕψιστος καὶ τὴν ἴασιν ἀνεβάλλετο.

92, 16 Ἄπειρον ἔτρεφεν ἔρωτα εἰς τὸν περιώνυμον ναὸν — καὶ εἰς τὸν ἐκεῖσε πέριξ χῶρον, πνεῦμα δὲ ζεφύρια ἐξάγοντα ἐκ τοῦ ὑπερκειμένου βουνοῦ.

Τὸ ἐξάγοντα ὑποκείμενον ἔχει τὸ „τὸν — χῶρον"· γραπτέον ἄρα ἤτοι πνεύματα ἢ ζεφύριον.

96, 8 Ἰδιώτας δὲ πάντῃ τῷ τρόπῳ καὶ τῷ ὑπουργεῖν πράγμασι πάνυ ἀπείρους.

Γράφε τοῦ.

96, 22 Μή τι δράσαι δυνάμενοι.

96, 28 Νύττει σφῶν αὐτῶν τὰς πλευρὰς καὶ ἀωρὶ ῥήματα τούτοις ζωῆς προξενεῖ.

Γραπτέον αὐθωρί.

97, 25 Ὁ ταύτης δὴ τῆς μονῆς προεστὼς — ἐκεῖθεν εἰώθει προβάλλειν διά τινας χρήσεις.

Γραπτέον χρείας· 96, 6 „διά τινας τῇ μονῇ χρείας"· 106, 4 „εἰς γῆν ἀπῆρε Χαλδίας διά τινας τῇ μονῇ χρείας".

101, 34 Αἱ γὰρ βδέλλαι τοῦ στόματος παραχρῆμα ἐξίεσαν αὐτοῦ.

Γραπτέον ἐξῄεσαν.

102, 26 Ἤρξατο τὸν ἅγιον δυσωπεῖν ἐκ ψυχῆς ὅπως λύσις αὐτῷ δωρηθῇ τῶν ποδῶν.

Γραπτέον πεδῶν· 102, 18 „ἵνα καὶ ἡ πέδη λυθείη".

106, 15 Εἶτα καὶ μικρὸν ἀνανήψας, ὥσπερ <εἶχε>, πρὸς τὴν ἁγίαν κεκυφὼς ὑπὸ γήρως παραγίνεται σορόν.

Ἀνεπληρώσαμεν τὸ εἶχε.

107, 16 Ὃ δὴ καὶ ποιήσαντες οἱ μοναχοί, τοῦ μετοπώρου ἤδη ἐνισταμένου καὶ τῶν καρπῶν εἰσοδιασθέντων, ὡς εἴρηται (οὕτω γὰρ οἱ ἐκεῖ γεωργοὶ ποιοῦσι πάντες ἄνθρωποι διὰ τὴν τοῦ χειμῶνος ταχεῖαν ἐπέλευσιν —). Ἐπεὶ παρῆλθον οἱ δύο οὗτοι μῆνες μετὰ τὴν καταβολὴν τῶν σπερμάτων ὑπέστρεφον οἴκαδε.

Ἡ πρὸ τοῦ Ἐπεὶ τελεία στιγμὴ μεταβλητέα εἰς ὑποστιγμήν.

107, 26 Ἐκεῖ τὸν Δεκέμβριον ὅλον διεβιβάκασιν.

Γράφε δι<αβ>εβιβάκασιν.

107, 27 Οὐκ εἶχον πῶς ἐκεῖθεν ἀπάραι τῷ σφοδρῷ τοῦ χειμῶνος.

108, 16 Μετὰ κοφίνων <ἐχόντων> τὰ ὑέλινα σκεύη εἰς τὰ ἴδια ἐπορεύοντο.

Ἀνεπληρώσαμεν τὸ ἐχόντων· δυνατὸν καὶ τὸ φερόντων.

108, 23 Ῥᾳδίως ἀπέτρεχον καὶ οὕτως εἰς ἄρδευσιν ἥκασιν.

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

Ἴσως ἐλέγετο Ἄρδευσις τόπος τις.

110, 27 Μόλις δὲ ὕπνου σπείσασα δρᾷ τὸν μέγαν Νικόλαον.

Γράφε ὕπνῳ.

110, 30 Εἰς τὰ τοιαῦτα νοσήματα ῥιγιά τε καὶ ἐκτικὰ καὶ ὅσ' ἄττα περὶ τὸν παροξυσμόν εἰσι πάθεα.

Ὁ κῶδιξ ῥίρεα = τῷ ῥίγεα.

115, 26 Εὐθέως δὲ ἀνανήψασα οἷον μεθ' ἡδονῆς καὶ μὴ τὰ δραθέντα δεξιῶς ἡγησαμένη etc.

Γράφε μὴν.

116, 5 Ἀλλὰ „παρὰ κωφὸν ᾄδειν" ἐνομίζετο.

Οὐδὲν ἐσημειώθη περὶ τῆς ἀρχαίας παροιμίας.

118, 9 Κατοχυρεῖ δὲ τὰς στενωποὺς καὶ ἀμφόδους τῶν πέριξ χωρῶν.

Γράφε κατοχυροῖ· 120, 5 „τὰς ἀμφόδους κατοχυρώσας".

118, 20 Τοὺς δὲ Παϊπερτηνοὺς ἤρετο τὴν ὁδὸν θέλων μαθεῖν δι' ἧς εἰς Τραπεζοῦντα ἀπελεύσεται· οἱ δ' ἔξω καὶ πόρρω Χαλδαϊκῆς διοδεύειν προσήκει ἀντέφησαν (τὸ γὰρ θέμα Χαλδίας ἔστι δύσβατον ἀλλὰ καὶ ἀνδρῶν πολεμιστῶν εὐπορεῖ) καὶ οὐ ῥαδίαν εἶναι (sc. ἔφησαν) τὴν δίοδον.

Γράφε προσήκειν.

119, 5 Εἴς τι χωρίον — ἥει καὶ — τὸν ἐκεῖθεν ῥύακα κατιὼν εἰς γέφυραν ἐπανίει.

121, 1 Ἐπειδὴ ἀπὸ τοῦ μεσημβρινοῦ μέρους τοῦ ἄστεος οὐκ ἦν τῶν ἀντιπολεμούντων ὁδὸς βάσιμος ἄγχιστα, ἐξ ἐπιφανοῦς ὥστε ἐλθεῖν ⟨εἰς⟩ χεῖρας κατὰ μέτωπον τοῦ πολέμου, ἐξ ἄλλου δή τινος μέρους ἐνεκελεύετο πολεμεῖν.

Ἀνεπληρώσαμεν τὸ εἰς. Γραπτέον πολεμίου.

121, 14 Ἐσκήνωσαν ἀπὸ τῆς παλαιᾶς ἐξαρτήσεως — καὶ ὅλου τοῦ παραλίου ἄχρι καὶ τοῦ δυτικοῦ ποταμοῦ.

Γράφε ἐξαρτύσεως ἢ γοῦν ἐξαρτίσεως.

122, 4 Γενομένοις δ' ἐκεῖσε, ἐπεὶ καί τινες τῶν βαρβάρων πέφθακαν, προσέμιξαν καὶ ἐξ ἑκατέρων πίπτουσιν οὐ πολλοί.

Γενόμενοι?

122, 16 Τὴν τοῦ Πουτζέα στάσιν τὴν ἐν τῷ χωρίῳ Ἀμμωδίῳ τῇ μονῇ τῇδε — ἀνέθηκεν.

Μᾶλλον δὲ ὑπόστασιν. — Ὁ κῶδιξ ἔχει ἀμμῶ (δ' superscript) = Ἀμμώδει? (ἀμμωδεῖ Fallmerayer).

126, 26 Τοὺς ἀλεκτρυῶνας.

127, 22 Περιλλαμφθῆναι.

128, 23 Ὅσους δὲ ἀποφυγόντας περὶ τὰς ἐκβολὰς τοῦ Ταύρου



Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

*εὗρον οἱ Ματζουκαῖται καὶ Χαλδαῖοι εὔζωνοι, πεφονεύκασι, τίς ἀριθμήσειεν;*

*Οὐδαμῶς ἐννοοῦμεν τὴν μετὰ τὸ εὔζωνοι ὑποστιγμήν.*

129, 9 *Τοῦτον ἰδὼν ὁ βασιλεὺς ἄγαν φιλοτίμως ἀποδέχεται.*

*Μᾶλλον δὲ ὑποδέχεται.*

133, 22 *Ἐγὼ δὲ πρὸς αὐτὸν προβῆναι θέλων οὐκ εἶχον ὅπου πορεύοιμι.*

?

133, 26 *Δέει δ' ἔτι συνισχημένος.*

135, 9 *Ὁμόρροφοι.*

*Ὁ κῶδιξ κατὰ τὴν μαρτυρίαν τοῦ ἐκδότου ἔχει τὸ ὁμόροφοι.*

## V. *Ἀνωνύμου, σελ.* 137—149.

138, 11 *Ἐκεῖθεν ἀρθείς, ἀραμένῳ τινὶ τῶν θεραπόντων ἡμῶν, ἐπὶ κλίνης μόλις ἐκλίθην.*

*Δυσκόλως ἐννοοῦμεν τὰς ὑποστιγμάς.*

139, 12 *Τῆς δὲ κλίνης ἀναθορῶν.*

146, 5 *Τῶν θαυμάτων τουτωνὶ συγγραφομένων εἰς δόξαν τοῦ Θεοῦ καὶ τοῦ ἁγίου, μὴ ἐνεγκὼν ὁ Διάβολος ἀπὸ πολλῆς πονηρίας καὶ βασκανίας ὅτι ὁ Θεὸς μέλλει δι' αὐτὸν δοξάζεσθαι καὶ ὁ ἅγιος ἐπαξίως τιμᾶσθαι τρίζων τοὺς ὀδόντας κατὰ τοῦ συγγραφέως βέλος πόνου δριμυτάτου καὶ πικροῦ λίαν καὶ θανατηφόρου ἐντίθησι τῷ τραχήλῳ αὐτοῦ.*

*Τὸ „δι' αὐτὸν" = τῷ „διὰ τὸν Διάβολον" ὃ ἀτοπώτατον· γράφε „δι' αὐτῶν", sc. τῶν θαυμάτων συγγραφομένων.*

149, 1 *Τέρμ' ἐδεδώκεσαν Εὐγενίοιο τεράστια τῇδε,*
*γεγραφόθ', ὑψιμέδον· κοσμοκράτορος παγιδάων*
*σαώζοις ἱκετείαις* etc.

*Ἐπειδὴ ἀδύνατόν ἐστιν ἵνα τὸ γεγραφότα ἀναφέρηται εἰς τὸ τεράστια, διάστιξον ὧδε: „τῇδε· |·γεγραφόθ'* [sc. *ἐμὲ*], *ὑψιμέδον, κοσμοκράτορος παγιδάων | σαώζοις"* etc.

## VI. *Διήγησις περὶ τῆς ἁλώσεως.*

*Στίχος* 7

*Μητρόπολις εὑρίσκεται σαὐτὴν τὴν ἐπαρχίαν,*
*εἰς κάστρον δὲ εὑρίσκεται, εἰς Τούρκων ἐπαρχίαν.*

„Apogr. *δὲν"*, *ὀρθότατα· ὅ τι ἐννοεῖ ὁ ποιητής, τοῦτο διδάσκουσι στ.* 42 *„δὲν εἶναι, δὲν εὑρίσκεται ἐδῶ στοῦτα τὰ μέρη"*, 47 *εἰς τόπους δὲν ἐφάνη, | Τουρκῶν ἡ ἐπικράτεια εἰς ὅπου καὶ ἂν φθάνῃ". Καὶ ἀποβλητέα ἄρα ἡ μετὰ τὸ εὑρίσκεται ὑποστιγμὴ* (= *εἰς κάστρον Τούρκων ἐπαρχίας δὲν εὑρίσκεται*).

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

*Στ.* 156 „*Ξεπέξευσεν ἀπ' τἄλογο*“· *ὁ κῶδιξ ἐπέξευσεν, ὀρθότατα· ἰδὲ τὰ Λεξικά.*

*Διακόπτομεν ἐνταῦθα τὰς παρατηρήσεις ἡμῶν ὅπως μὴ ἡ διατριβὴ ἱκανῶς ἤδη μηκυνθεῖσα ἐκταθῇ ἐπ' ἔτι μεῖζον μῆκος. Ἐλπίζομεν ὅτι τῶν ἡμετέρων διορθώσεων εἰ μὴ πολλαὶ ἀλλά γέ τινες εὑρεθήσονται ἐμπεδούμεναι ὑπὸ τοῦ κώδικος αὐτοῦ (τοῦ κειμένου ἐν τῇ Ἀθωίτιδι μονῇ τοῦ ἁγίου Διονυσίου), ἐξ οὗ ὁ Ἀθ. Παπαδόπουλος ἐξέδωκε τὰ Τραπεζουντιακὰ ταῦτα Κείμενα* (Texte), *καὶ οὖσαι αὐτοῦ τοῦ κώδικος γραφαί, ἐὰν ὁ κῶδιξ τύχῃ παρά τινος λογίου δευτέρας ἀναγνώσεως καὶ ἐπιμελοῦς ἀντιβολῆς* (Kollation). *Καὶ ἐλπίζομεν τοῦτο διὰ δύο σπουδαίους λόγους, τούσδε.*

*Α'*) *Ἀγαθή τις συμφορὰ συνέβη ἤδη πολλάκις ἡμῖν ἰδοῦσι διορθώσεις ἡμῶν εἰς ἔργα καὶ ἀρχαίων καὶ μεταγενεστέρων συγγραφέων, γενομένας κατ' εἰκασίαν καὶ διὰ βιβλίων γνωρισθείσας τοῖς φιλολόγοις, ἐμπεδωθείσας* (bestätigt) *ἔπειτα ὑπὸ τῶν κωδίκων, ἀκριβέστερον ἀναγνωσθέντων ὑπὸ ἑτέρων ἐκδοτῶν, ἢ ὑπὸ ἄλλων κωδίκων ὕστερον εὑρεθέντων καὶ τὸ πρῶτον ἐξετασθέντων. Αἱ μέχρι τοῦδε οὕτως ἐπικεκυρωμέναι διορθώσεις ἡμῶν ἀναφέρονται:* 1) *εἰς τὰ ἀρχαῖα Λαυρεντιακὰ Σχόλια τῶν Σοφοκλέους τραγῳδιῶν* (*ἰδὲ τὸν Πρόλογον τῆς ἡμετέρας ἐκδόσεως* Teubnerianae)· 2) *εἰς τὴν Ἀριστοτέλους Ἀθηναίων Πολιτείαν τὴν ἐκδεδομένην κατὰ τὸν πολύτιμον Αἰγυπτιακὸν πάπυρον τοῦ Λονδίνου* (*ἰδὲ καὶ τὴν β' καὶ τὴν γ' ἔκδοσιν* Teubnerianam *τοῦ εὐσυνειδήτου* Blass, *τοῦ γινώσκοντος ἅμα καὶ βουλομένου* suum cuique tribuere)· 3) *εἰς Πλούταρχον*· 4) *εἰς τὸν Βίον τοῦ ὁσίου Δαυὶδ τοῦ ἐν Θεσσαλονίκῃ* (Kurtz, Byz. Z. IV 621· „Sodann erhalten drei von den Verbesserungsvorschlägen, die P. N. Papageorgiu jüngst in dieser Zeitschrift II 287 mitteilte, durch die neuen Handschriften eine erwünschte Bestätigung“ etc. *γράφει ὁ κριτικώτατος φίλος ἡμῶν*)· 5) *εἰς τὰς ὑπὸ τοῦ Ἀθ. Παπαδοπούλου-Κεραμέως ἐκδοθείσας Ἐπιστολὰς τοῦ πατριάρχου Φωτίου. Αἱ ἐπιστολαὶ ἐξεδόθησαν* (*ἐν Πετρουπόλει*) *ἔτει* 1896, *τὰς δ' εἰς αὐτὰς διορθώσεις ἡμῶν ἐποιησάμεθα ἔτει* 1898, Byz. Z. VII 299—308, *καὶ ἔτει* 1899, *ἐν τῇ Ἀττικῇ* „*Ἀθηνᾷ*“ *ΙΑ'* 302—354. *Ἔτει* 1900 *μεταβάντες εἰς τὸ Ἅγιον Ὄρος ἀντεβάλομεν* (kollationierten) *ἐν τῇ μονῇ τῶν Ἰβήρων* (*ἐν αὐτῇ φυλάσσεται ὁ κῶδιξ τῶν Ἐπιστολῶν τοῦ Φωτίου*) *πρὸς τὸν κώδικα τὸ ὑπὸ τοῦ Παπαδοπούλου ἐκδεδομένον Κείμενον, εἰκάσαντες ὅτι ὁ Παπαδόπουλος ἀνθρώπινα ἁμαρτὼν ἀνέγνω τινὰ οὐ καλῶς καὶ οὐκ ἀκριβῶς. Ἐν τῇ εἰκασίᾳ δὲ ηὐστοχήσαμεν τοῦ ἀληθοῦς, καθόσον ὁ Ἰβηριτικὸς* (*ἢ μᾶλλον Ἰβήριος ἢ Ἰβηρικὸς*) *κῶδιξ:* 1) *ἐνεπέδωσεν* 8 *διορθώσεις ἡμῶν* (1898—1899)· 2) *ἔχει ὀρθὰς γραφὰς ἄλλας* 27 (*ἀντὶ τῶν ἐσφαλμένων παρὰ τῷ Παπαδοπούλῳ*)· 3) *ἔχει* 17 *ἄλλας νέας*

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM

*γραφὰς ἡμαρτημένας καὶ* 3 *νέας ἀδιαφόρους. Ταῦτα πάντα καὶ ἄλλα ἰδὲ ἐν τῷ βιβλιαρίῳ ἡμῶν οὗ τὸ ὄνομα „Φωτίου πατριάρχου ἀνέκδοτος Ὁμιλία καὶ ἐκδεδομέναι Ἐπιστολαί“ (ἐν Τεργέστῃ* 1900), *καὶ δὴ ἐν τῷ δευτέρῳ αὐτοῦ μέρει σελ.* 17—22.

*Β'*) *Τὸ νῦν δὴ ῥηθὲν περὶ τῆς ἡμετέρας ἀντιβολῆς* (Kollation)[1]) *τοῦ κώδικος τῆς μονῆς τῶν Ἰβήρων ἔχει ἐν ἑαυτῷ τὸν λόγον τὸν Β', τὸν σπουδαῖον οὐχ ἧσσον τοῦ Α', δι' ὃν ἐλπίζομεν ὅτι ὁ κῶδιξ τῆς μονῆς τοῦ ἁγίου Διονυσίου ἐπιμελῶς ἀντιβληθησόμενος δειχθήσεται ἐμπεδῶν αὐτὸς ἐνίας τῶν εἰς τὰ Τραπεζουντιακὰ Κείμενα ἐν τοῖς ἔμπροσθεν γενομένων ὑφ' ἡμῶν διορθώσεων, οὐ μὴν ἀλλὰ καὶ ἄλλας νέας γραφὰς ἔχων. Οἱ ἄνθρωποι κλῆρον ἔχομεν τὸ ἁμαρτάνειν, ἀναμάρτητος δὲ μόνος ὁ Θεὸς καὶ ἡ ἀλήθεια αὐτοῦ.*

*Ἐν Θεσσαλονίκῃ.* **Πέτρος Ν. Παπαγεωργίου.**

1) *Ἀνακριβῆ ἄρα τὰ ὑπὸ τοῦ φίλου* A. Heisenberg, Byz. Z. X (1901) 338, *γεγραμμένα*: „Der zweite Teil der Schrift enthält eine Reihe von neuen Verbesserungen [sic] zu der bekannten Ausgabe der Briefe des Photios von A. Papadopulos-Kerameus“. — *Ἐν παρόδῳ, ἐν σελ.* 5 *γράφε „ἐνορῶντες ἐκεῖθεν“ ἀντὶ τῶν „ἐνορῶντες, ἐκεῖθεν“.*

Brought to you by | University of California
Authenticated
Download Date | 6/8/15 6:42 AM